UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

Universitätsbibliothek Wuppertal

Flavii Philostrati quae supersunt

Philostratus, Flavius

Turici, 1844

4.

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5613

Visual Library

ποιεῖται, τὸ δὲ ἀνοίγνυταί τε καὶ μεθύει ὑπ' αὐτοῦ, κέντρῳ δὲ διελαθὲν ἀποπτύει τὸν ἰχῶρα, ὁ δὲ ἐκδέχεται αὐτὸν τῇ πλινθίδι τύπους ὀρωρυγμένῃ. λιθοῦται δὲ τὸ ἐντεῦθεν καὶ ῥυθμίζεται, καθάπερ ἡ φύσει μαργαρίς κἄστιν ἡ μαργαρὶς αἷμα λευκὸν ἐξ ἐρυθρᾶς τῆς θαλάττης. ἐπιτίθεσθαι δὲ τῇ θήρᾳ ταύτῃ καὶ τοὺς Ἀραβίους φασὶν ἀντιπέρας οἰκοῦντας. τὸ δὲ ἐντεῦθεν θηριώδη μὲν τὴν θάλατταν εἶναι πᾶσαν, ἀγελάζεσθαι δὲ ἐν αὐτῇ τὰ κήτη, τὰς δὲ ναῦς ἔρυμα τούτου κωδωνοφορεῖν κατὰ πρύμναν τε καὶ πρῴραν, τὴν δὲ ἠχὼ ἐκπλήττειν τὰ θηρία, καὶ μὴ ἐᾶν ἐμπελάζειν ταῖς ναυσί.

Καταπλεύσαντες δὲ ἐς τὰς ἐκβολὰς τοῦ Εὐφράτου φασὶν ἐς Βαβυλῶνα διὰ αὐτοῦ ἀναπλεῦσαι LVIII παρὰ τὸν Οὐαρδάνην. καὶ τυχόντες αὐτοῦ οἷον ἐγίγνωσκον, ἐπὶ τὴν Νῖνον ἐλθεῖν αὖθις, καὶ τῆς Ἀντιοχείας συνήθως ὑβριζούσης καὶ μηδὲν τῶν Ἑλληνικῶν ἐσπουδακυίας ἐπὶ θάλαττάν τε καταβῆναι τὴν ἐπὶ Σελεύκειαν νεώς τε ἐπιτυχόντες προσπλεῦσαι Κύπρῳ κατὰ τὴν Πάφον, οὗ τὸ τῆς Ἀφροδίτης ἕδος, ὃ ξυμβολικῶς ἱδρυμένον θαυμάσαι τὸν Ἀπολλώνιον, καὶ πολλὰ τοὺς ἱερέας ἐς τὴν ὁσίαν τοῦ ἱεροῦ διδαξάμενον ἐς Ἰωνίαν πλεῦσαι θαυμαζόμενον ἱκανῶς καὶ μεγάλων ἀξιούμενον παρὰ τοῖς τὴν σοφίαν τιμῶσιν.

Δ'.

Ἐπεὶ δὲ εἶδον τὸν ἄνδρα ἐν Ἰωνίᾳ παρελθόντα ἐς τὴν Ἔφεσον, οὐδὲ οἱ βάναυσοι ἔτι πρὸς 1 140
ταῖς ἑαυτῶν τέχναις ἦσαν, ἀλλ' ἠκολούθουν ὁ μὲν σοφίας, ὁ δὲ εἴδους, ὁ δὲ διαίτης, ὁ δὲ σχήματος, οἱ δὲ πάντων ὁμοῦ θαυμασταὶ ὄντες, λόγοι τε περὶ αὐτοῦ ἐφοίτων οἱ μὲν ἐκ τοῦ Κολοφῶνι μαντείου κοινωνὸν τῆς ἑαυτοῦ σοφίας καὶ ἀτεχνῶς σοφὸν καὶ τὰ τοιαῦτα τὸν ἄνδρα ᾄδοντες, οἱ δὲ ἐκ Διδύμων, οἱ δὲ ἐκ τοῦ περὶ τὸ Πέργαμον ἱεροῦ, πολλοὺς γὰρ τῶν ὑγιείας δεομένων ὁ θεὸς ἐκέλευσε προσφοιτᾶν τῷ Ἀπολλωνίῳ, τουτὶ γὰρ αὐτός τε βούλεσθαι καὶ δοκεῖν ταῖς Μοίραις. ἐφοίτων καὶ πρεσβεῖαι πρὸς αὐτὸν ἐκ τῶν πόλεων ξένον τε αὐτὸν ἡγούμενοι καὶ βίου ξύμβουλον βωμῶν τε ἱδρύσεως καὶ ἀγαλμάτων, ὁ δὲ ἕκαστα τούτων τὰ μὲν ἐπιστέλλων, τὰ δὲ ἀφίξεσθαι 141
φάσκων διωρθοῦτο. πρεσβευσαμένης δὲ καὶ τῆς Σμύρνης καὶ ὅ τι μὲν δέοιτο οὐκ εἰπούσης, ἐκλιπαρούσης δὲ ἀφικέσθαι, ἤρετο τὸν πρεσβευτήν, ὅ τι αὐτοῦ δέοιντο, ὁ δὲ „ἰδεῖν" ἔφη „καὶ ὀφθῆναι". ὁ δὲ Ἀπολλώνιος „ἀφίξομαι" εἶπε „δοίητε δέ, ὦ Μοῦσαι, καὶ ἐρασθῆναι ἀλλήλων". 25 II

Τὴν μὲν δὴ διάλεξιν τὴν πρώτην ἀπὸ τῆς κρηπῖδος τοῦ νεὼ πρὸς τοὺς Ἐφεσίους διελέχθη, οὐχ ὥσπερ οἱ Σωκρατικοί, ἀλλὰ τῶν μὲν ἄλλων ἀπάγων τε καὶ ἀποσπουδάζων, φιλοσοφίᾳ δὲ μόνῃ

1. κέντρῳ δὲ. 1. κέντρῳ τε. 2, E, ΦA. ib. δελεασθὲν. φ et f. ante corr. al. m. ib. ἀποπνεῖ. p. 2. αὐτοῦ. v. ib. τὸ ἐνταῦθα. v. 3. μαργαρὶς κἄστιν. om. a. relicta lacuna. ἡ φύσει μαργαρὶς. et mg. κἄστιν ἡ. s. ib. κἄστιν ἡ μαργαρὶς. om. f, φ, v, l, Φ. 4. δὲ. om. φ. ib. ἀρραβίους. p. ib. δὲ. om. s. 5. τουτί. l. 6. τῇ δὲ. v.

8. καταπλεύσαντες δὲ — ἀναπλεῦσαι. Φ (328, a, 15). 9. περὶ. π. 10. μὴ δὲ. v. 11. ἐπιτυχόντας. π. ἐπιτυχόντας. p. 2, E. 12. συμβολικῶς. f, l. 13. ὁσίαν. C. οἰκίαν. E. 14. τὴν σοφίαν. 1. σοφίαν. 2, E.

15. ἐπεὶ δὲ. π, v. ἐπειδὴ δὲ. p, f, l, s, E. ib. βαύνασοι. v. 16. αὐτῶν. v. 17. Σ. v. θαυμασταί· ἐκπλαγεὶς ἠκολούθουν, οἱ μὲν σοφίας, οἱ δὲ εἴδ. οἱ δὲ δ. οἱ δὲ σ. οἱ δὲ πάντων ὁμοῦ θαυμασταὶ ὄντες. ib. θαυμασταί. v, a, m. ib. λόγοι τε. π, 2, a, m. λόγοι δὲ. p, o. ib. περὶ ἑαυτοῦ. f, v. 18. ἐν K. o. ib. τῆς ἑαυτοῦ C, a, m. τῆς αὐτοῦ. o. 20. ἐκέλευσε. 1, l. ἐκέλευε. 2. E. 21. σύμβουλον. s. σύμβολον. l. 25. ὁ δὲ Ἀπ. — ἀλλήλων. om. v, l, et s. in ordine, habet mg. ib. δοίητε δὲ. l, f. καὶ δοίητε. s, E.

26. διειλέχθη. l, s, a, m. 27. οὐχ, ὥσπερ οἱ Σωκρατικοί, τῶν μὲν ἄλλων ἀπάγων καὶ ἀποσπουδάζων, φιλοσοφίᾳ δὲ μόνῃ συμβουλεύων, ἀλλὰ καὶ ἑξῆς. Φ. (332, b, 34.) ib. φιλοσοφίᾳ δὲ μόνῃ προσέχειν ξυμβ. π. φιλοσοφίᾳ δὲ μόνῃ ξυμβ. p, 2, a, m, Φ. φιλοσοφίας δὲ μόνης ξ. o, Salm.

ξυμβουλεύων προσέχειν καὶ σπουδῆς ἐμπιπλάναι τὴν Ἔφεσον μᾶλλον ἢ ῥᾳθυμίας τε καὶ ἀγερωχίας, ὁπόσην εὗρεν· ὀρχηστῶν γὰρ ἡττημένοι καὶ πρὸς πυρρίχαις αὐτοὶ ὄντες αὐλῶν μὲν πάντα μεστὰ ἦν, μεστὰ δὲ ἀνδρογύνων, μεστὰ δὲ κτύπων· ὁ δὲ καίτοι μεταθεμένων τῶν Ἐφεσίων πρὸς αὐτὸν
III οὐκ ἠξίου περιορᾶν ταῦτα, ἀλλ' ἐξῄρει αὐτὰ καὶ διέβαλλε τοῖς πολλοῖς. τὰς δὲ ἄλλας διαλέξεις περὶ τὰ ἄλση τὰ ἐν τοῖς ξυστοῖς δρόμοις ἐποιεῖτο, διαλεγομένου δέ ποτε περὶ κοινωνίας καὶ διδάσκον-
142 τος, ὅτι χρὴ τρέφειν τε ἀλλήλους καὶ ὑπ' ἀλλήλων τρέφεσθαι, στρουθοὶ μὲν ἐκάθηντο ἐπὶ τῶν δένδρων σιωπῶντες, εἷς δὲ αὐτῶν προσπετόμενος ἐβόα, παρακελεύεσθαί τι δοκῶν τοῖς ἄλλοις, οἱ δέ, ὡς ἤκουσαν, αὐτοί τε ἀνέκραγον καὶ ἀρθέντες ἐπέτοντο ὑπὸ τῷ ἑνί. ὁ μὲν δὴ Ἀπολλώνιος εἴχετο τοῦ λόγου γιγνώσκων μέν, ἐφ' ὅ τι οἱ στρουθοὶ πέτοιντο, πρὸς δὲ τοὺς πολλοὺς οὐχ ἑρμη-
10 νεύων αὐτό, ἐπεὶ δὲ ἀνέβλεψαν ἐς αὐτοὺς πάντες καὶ ἀνοήτως ἔνιοι τερατῶδες αὐτὸ ἐνόμισαν, παραλλάξας ὁ Ἀπολλώνιος τοῦ λόγου „παῖς" εἶπεν „ὤλισθεν ἀπάγων πυροὺς ἐν σκάφῃ καὶ κακῶς αὐτοὺς ξυλλεξάμενος αὐτὸς μὲν ἀπελήλυθε, πολλοὺς δ' ἐσκεδασμένους ἀπολέλοιπεν ἐν στενωπῷ τῷ δεῖνι, ὁ δὲ στρουθὸς παρατυχὼν οὗτος πρόξενος τοῖς ἄλλοις ἥκει τοῦ ἑρμαίου καὶ ποιεῖται αὐτοὺς ξυσσίτους." οἱ μὲν δὴ πλεῖστοι τῶν ἀκροωμένων δρόμῳ ἐπὶ τούτῳ ᾤχοντο, ὁ δὲ Ἀπολλώνιος πρὸς
15 τοὺς παρόντας διῄει τὸν λόγον, ὃν περὶ τῆς κοινωνίας προὔθετο, καὶ ἐπειδὴ ἀφίκοντο βοῶντές τε καὶ μεστοὶ θαύματος „οἱ μὲν στρουθοὶ" εἶπεν„ ὁρᾶτε, ὡς ἐπιμελοῦνται τε ἀλλήλων καὶ κοινωνίᾳ χαίρουσιν, ἡμεῖς δὲ οὐκ ἀξιοῦμεν, ἀλλὰ κἂν κοινωνοῦντα ἑτέροις ἴδωμεν, ἐκεῖνον μὲν ἀσωτίαν καὶ τρυφὴν καὶ τὰ τοιαῦτα ἡγούμεθα, τοὺς δὲ ὑπ' αὐτοῦ τρεφομένους παρασίτους τε καὶ κόλακας φα-
μέν. καὶ τί λοιπὸν ἀλλ' ἢ ξυγκλείσαντας αὐτούς, ὥσπερ τοὺς σιτευομένους τῶν ὀρνίθων, ἐν σκότῳ
20 γαστρίζεσθαι, μέχρις ἂν διαρραγῶμεν παχυνόμενοι;"

IV Λοιμοῦ δὲ ὑφέρποντος τὴν Ἔφεσον καὶ οὔπω ἀνοιδούσης τῆς νόσου ξυνῆκε μὲν ὁ Ἀπολλώνιος τῆς προσβολῆς, ξυνεὶς δὲ προὔλεγε πολλαχοῦ τε τῶν διαλέξεων „ὦ γῆ, μένε ὁμοία," καὶ τοιαῦτα
143 ἐπεφθέγγετο ξὺν ἀπειλῇ· „τούσδε σῶζε" καὶ „οὐ παρελεύσῃ ἐνταῦθα." οἱ δ' οὐ προσεῖχον καὶ τερατολογίαν τὰ τοιαῦτα ᾤοντο τοσῷδε μᾶλλον, ὅσῳ καὶ ἐς πάντα τὰ ἱερὰ φοιτῶν ἀποτρέπειν
25 αὐτὸ ἐδόκει καὶ ἀπεύχεσθαι. ἐπεὶ δὲ ἀνοήτως εἶχον τοῦ πάθους, ἐκείνοις μὲν οὐδὲν ὤετο δεῖν ἐπαρκεῖν ἔτι, τὴν δὲ ἄλλην Ἰωνίαν περιῄει διορθούμενος τὰ παρ' ἑκάστοις καὶ διαλεγόμενος ἀεί τι σωτήριον τοῖς παροῦσιν.

V Ἀφικνουμένῳ δὲ αὐτῷ ἐς τὴν Σμύρναν προσαπήντων μὲν οἱ Ἴωνες, καὶ γὰρ ἔτυχον Πανιώνια θύοντες, ἀναγνοὺς δὲ καὶ ψήφισμα Ἰωνικόν, ἐν ᾧ ἐδέοντο αὐτοῦ κοινωνῆσαί σφισι τοῦ
30 ξυλλόγου, καὶ ὀνόματι προστυχὼν ἥκιστα Ἰωνικῷ, Λούκουλλος γάρ τις ἐπεγέγραπτο τῇ γνώμῃ,
144 πέμπει ἐπιστολὴν ἐς τὸ κοινὸν αὐτῶν ἐπίπληξιν ποιούμενος περὶ τοῦ βαρβαρισμοῦ τούτου· καὶ γὰρ δὴ καὶ Φαβρίκιον καὶ τοιούτους ἑτέρους ἐν τοῖς ἐψηφισμένοις εὗρεν. ὡς μὲν οὖν ἐρρωμένως ἐπέ-
VI πληξε, δηλοῖ ἡ περὶ τούτου ἐπιστολή. παρελθὼν δὲ ἐπ' ἄλλης ἡμέρας ἐς τοὺς Ἴωνας, „τίς" ἔφη „ὁ κρατὴρ οὗτος;" οἱ δὲ ἔφασαν „Πανιώνιος." ἀρυσάμενος οὖν καὶ σπείσας, „ὦ θεοί," εἶπεν
35 „Ἰώνων ἡγεμόνες, δοίητε τῇ καλῇ ἀποικίᾳ ταύτῃ θαλάττῃ ἀσφαλεῖ χρῆσθαι καὶ μηδὲν τῇ γῇ κακὸν ἐξ αὐτῆς προσκωμάσαι, μηδ' Αἰγαίωνα σεισίχθονα τινάξαι ποτὲ τὰς πόλεις." τοιαῦτα ἐπεθείαζε

3. ἑαυτὸν. p. 4. ἐξῄρει αὐτὸς. v. ib. διέβαλε. m, o. ib. περὶ ἄλση. 2, a. 5. ξεστοῖς. m. (corr. Hu.) ib. διδάσκοντες. a. 7. δέ τι δοκῶν. l. τε δοκῶν. a, m. 8. ὑπὸ τῷ. π, 2, E. ἐπὶ τῷ. p. 11. τὸν λόγον. v. ib. ὠλίσθησεν, s, E. ib. ἐν σκάφει. E. 15. περὶ κοινωνίας. s, a, m. 16. ὡρᾶτε. a. ib. ἐπιμελοῦνται. p. ἐπιμέλονται. π, 2, E. 17. χαίρουσιν; l. ib. ἐκεῖνο. 1 et m. γρ. 19. αὐτοὺς. s.
21. οὔπω. π, H. 17. οὔτω. p, 2, E. 22. πολλαχοῦ τε. 1. πολλαχοῦ δὲ. 2, E. 23. ἐπεφθέγγετο. C, o. ἀπεφθεγγετο. l, a, m. ib. ἐνταῦθα. del. f. om. v, s, l. 25. αὐτῷ. 2, a. ib. ἀπομάχεσθαι. v. 26. διορθούμενος. v. ib. τὰ παρ' ἑκάστοις. 1. παρ' ἑκάστοις. 2, E. ib. διαλεγόμενος. 1. διαλογιζόμενος. 2, E.
28. ἀφικομένῳ. p. ἀφικνομένῳ. v. ib. καὶ προσαπήντων. l. 30. Λούκουλος. f, l, s, a. 34. ὦ θεοί. 1. θεοί. 2, E. 35. ἰόνων. v. ib. μὴ δὲ. v. 36. αἰγέωνα. p.

IV. 3. 4. 5. 6. p. 142. 143. 144.

προορῶν, οἶμαι, τὰ χρόνοις ὕστερον περί τε Σμύρναν περί τε Μίλητον περί τε Χίον καὶ Σάμον καὶ πολλὰς τῶν Ἰάδων ξυμβάντα.

Σπουδῇ δὲ ὁρῶν τοὺς Σμυρναίους ἁπάντων ἁπτομένους λόγων ἐπερρώννυε καὶ σπουδαιοτέ- VII 145
ρους ἐποίει, φρονεῖν τε ἐκέλευεν ἐφ' ἑαυτοῖς μᾶλλον ἢ τῷ τῆς πόλεως εἴδει, καὶ γάρ, εἰ καὶ καλλίστη πόλεων, ὁπόσαι ὑπὸ ἡλίῳ εἰσί, καὶ τὸ πέλαγος οἰκειοῦται, ξεφύρου τε πηγὰς ἔχει, ἀλλ' ἀνδράσιν ἐστεφανῶσθαι αὐτὴν ἥδιον ἢ στοαῖς τε καὶ γραφαῖς καὶ χρυσῷ πλείονι τοῦ ὄντος. τὰ μὲν γὰρ οἰκοδομήματα ἐπὶ ταὐτοῦ μένειν οὐδαμοῦ ὁρώμενα πλὴν ἐκείνου τοῦ μέρους τῆς γῆς, ἐν ᾧ ἐστιν, ἄνδρας δὲ ἀγαθοὺς πανταχοῦ μὲν ὁρᾶσθαι, πανταχοῦ δὲ φθέγγεσθαι, τὴν δὲ πόλιν, ἧς γεγόνασιν, ἀποφαίνειν τοσαύτην, ὅσοι περ αὐτοὶ γῆν ἐπελθεῖν δύνανται. ἔλεγε δὲ τὰς μὲν πόλεις τὰς οὕτω καλὰς ἐοικέναι τῷ τοῦ Διὸς ἀγάλματι, ὃς ἐν Ὀλυμπίᾳ τῷ Φειδίᾳ ἐκπεποίηται, καθῆσθαι γὰρ αὐτὸ — οὕτως τῷ δημιουργῷ ἔδοξε — τοὺς δὲ ἄνδρας ἐπὶ πάντα ἥκοντας μηδὲν ἀπεοικέναι τοῦ Ὁμηρείου Διός, ὃς ἐν πολλαῖς ἰδέαις Ὁμήρῳ πεποίηται θαυμασιώτερον ξυγκείμενος τοῦ ἐλεφαντίνου· τὸν μὲν γὰρ ἐν γῇ φαίνεσθαι, τὸν δὲ ἐς πάντα ἐν τῷ οὐρανῷ ὑπονοεῖσθαι.

Καὶ μὴν καὶ περὶ τοῦ πῶς ἂν πόλεις ἀσφαλῶς οἰκοῖντο ξυνεφιλοσόφει τοῖς Σμυρναίοις, διαφερομένους ὁρῶν ἀλλήλοις καὶ μὴ ξυγκειμένους τὰς γνώμας· ἔλεγε γὰρ δὴ τὴν ὀρθῶς οἰκησομένην πόλιν ὁμονοίας στασιαζούσης δεῖσθαι, τούτου δὲ ἀπιθάνως τε καὶ οὐκ ἐς τὸ ἀκόλουθον εἰρῆσθαι δόξαντος, ξυνεὶς ὁ Ἀπολλώνιος, ὅτι μὴ ἔπονται οἱ πολλοὶ τῷ λόγῳ „λευκὸν μὲν" ἔφη „καὶ μέλαν οὐκ' ἄν ποτε ταὐτὸν γένοιτο, οὐδ' ἂν τῷ γλυκεῖ τὸ πικρὸν ὑγιῶς ξυγκραθείη, ὁμόνοια δὲ στασιάσει 146
σωτηρίας ἕνεκα τῶν πόλεων. ὃ δὲ λέγω, τοιοῦτον ἡγώμεθα· στάσις ἡ μὲν ἐπὶ ξίφη καὶ τὸ καταλιθοῦν ἀλλήλους ἄγουσα ἀπέστω πόλεως, ἧ παιδοτροφίας τε δεῖ καὶ νόμων καὶ ἀνδρῶν, ἐφ' οἷς λόγοι καὶ ἔργα, φιλοτιμία δὲ ἡ πρὸς ἀλλήλους ὑπὲρ τοῦ κοινοῦ καὶ πῶς ἂν ὁ μὲν γνώμης εἴποι βελτίω γνώμην, ὁ δ' ἑτέρου ἄμεινον ἀρχῆς προσταίη, ὁ δὲ προσβεύσειεν, ὁ δ' ἐξοικοδομήσαιτο λαμπρότερον τῆς ἑτέρου ἐπιστατείας, ἔρις, οἶμαι, αὕτη ἀγαθὴ καὶ στάσις πρὸς ἀλλήλους ὑπὲρ τοῦ κοινοῦ. τὸ δ' ἄλλον ἄλλο ἐπιτηδεύοντας ἐς τὸ τῆς πόλεως ὄφελος ξυμφέρειν Λακεδαιμονίοις μὲν εὖηθες ἐδόκει πάλαι, τὰ γὰρ πολεμικὰ ἐξεπονεῖτο καὶ ἐς τοῦτο ἔρρωντο πάντες καὶ τούτου μόνου ἥπτοντο, ἐμοὶ δ' ἄριστον δοκεῖ τὸ πράττειν ἕκαστον, ὅ τι οἶδε καὶ ὅ τι δύναται. εἰ γὰρ ὁ μὲν ἀπὸ δημαγωγίας θαυμασθήσεται, ὁ δὲ ἀπὸ σοφίας, ὁ δὲ ἀπὸ τοῦ ἐς τὸ κοινὸν πλουτεῖν, ὁ δὲ ἀπὸ τοῦ χρηστὸς εἶναι, ὁ δὲ ἀπὸ τοῦ ἐμβριθὴς καὶ μὴ ξυγγνώμων τοῖς ἁμαρτάνουσιν, ὁ δὲ ἀπὸ τοῦ μὴ διαβεβλῆσθαι τὰς χεῖρας, εὖ κείσεται ἡ πόλις, μᾶλλον δὲ ἑστήξει." καὶ ἅμα διιὼν ταῦτα ναῦν IX
εἶδε τῶν τριαρμένων ἐκπλέουσαν καὶ τοὺς ναύτας ἄλλον ἄλλως ἐς τὸ ἀνάγεσθαι αὐτὴν πράττοντας. ἐπιστρέφων οὖν τοὺς παρόντας „ὁρᾶτε" εἶπε „τὸν τῆς νεὼς δῆμον, ὡς οἱ μὲν τὰς ἐφολκίδας ἐμβεβήκασιν ἐρετικοὶ ὄντες, οἱ δ' ἀγκύρας ἀνιμῶσί τε καὶ ἀναρτῶσιν, οἱ δὲ ὑπέχουσι τὰ ἱστία τῷ

2. ξυμβάτα. v.
3. ἁπάντων ἁπτομένους. π. m. γρ. et J ad Im. 320. καὶ πάντων ἁπτ. p, 2, E. 4. ἢ τὸ τῆς. l. ib. καὶ εἰ — αὐτὴν ἐστεφανῶσθαι ἥδιον. Φ. (332, b, 36.) 6. ἥδιον. v. ib. γραφαῖς, χρυσῷ. s, a. 9. ὅσοι περ. π. ὅσηπερ. p, 2, E. ib. αὐτὸς. v. 10. τῇ Φειδίᾳ. v. 11. αὐτῷ. v. ib. οὕτως ὡς. m, o.
14. πόλεις. π. πόλις. p, 2, E. ib. οἰκοῖντο. π. οἰκοῖτο. p, 2, E. 15. ἀλλήλους. o. ib. τὰς γνώμας. l. sec. m. ib. ὅτι Ἀ. τὴν ὀρθῶς οἰκησομένην πόλιν ἔλεγεν ὁμονοίας δεῖσθαι στασιαζούσης. Φ. (333, a, 1.) ib. γὰρ δεῖ. p, f. v, l. 16. ἀπιθῶς. l. ἀπειθῶς. a. 18. τῷ γλυκεῖ τὸ πικρὸν. 1. τὸ γλυκὺ τῷ πικρῷ. 2, E. ib. στασιάσει. C. στασιάσοι. E. 19. τοῦτο δὲ τοιοῦτόν ἐστι· στάσις — κοινοῦ. Φ. (333, a, 2.) ib. τὰ ξίφη. v. 20. ἀλλήλοις. s. 21. δὲ πρὸς. l. ib. ἂν. om. Φ. ib. εἴπη. l. 22 ὁ δ' ἐξοικοδομήσαιτο — ἐπιστατείας. om. Φ. ib. ἐξοικοδομήσατο. π. 23. ἐπιστατίας. 2. (ἐπιστρατίας. l.) ib. πρὸς ἀλλήλους. om. Φ. 24. ἄλλον ἄλλον δ'. v. ib. ἐπιτηδεύοντας. 1. ἐπιτηδεύοντα. 2, E. ib. ἐς om. s, a, m ubi γρ. 25. ἐξεπονεῖτο. π et m. γρ. Deesse videtur αὐτοῖς s. σφίσι. ἐξεπονοῦντο. p, 2. (ἐκπονοῦντο. f. corr. al. m.) E. 29. ἡ. om. v. 30. τριαρμενίων. 2, a, m. 32. ἐρεττικοί. π. ib. ἀγγύρας. l.

IV, 7. 8. 9. p. 145. 146.

ἀνέμῳ, οἱ δὲ ἐκ πρύμνης τε καὶ πρώρας προορῶσιν; εἰ δὲ ἓν τούτων εἷς ἐλλείψει τι τῶν ἑαυτοῦ ἔργων ἢ ἀμαθῶς τῆς ναυτικῆς ἅψεται, πονήρως πλευσοῦνται καὶ ὁ χειμὼν αὐτοὶ δόξουσιν· εἰ δὲ φιλοτιμήσονται πρὸς ἑαυτοὺς καὶ στασιάσουσι μὴ κακίων ἕτερος ἑτέρου δόξαι, καλοὶ μὲν ὅρμοι τῇ νηὶ ταύτῃ, μεστὰ δὲ εὐδίας τε καὶ εὐπλοίας πάντα, Ποσειδῶν δὲ Ἀσφάλιος ἡ περὶ αὐτοῖς εὐβουλία δόξει."

x 147 Τοιουτοις μὲν δὴ λόγοις ξυνεῖχε τὴν Σμύρναν, ἐπεὶ δὲ ἡ νόσος τοῖς Ἐφεσίοις ἐνέπεσε καὶ οὐδὲν ἦν πρὸς αὐτὴν αὔταρκες, ἐπρεσβεύοντο παρὰ τὸν Ἀπολλώνιον, ἰατρὸν ποιούμενοι αὐτὸν τοῦ πάθους, ὁ δὲ οὐκ ᾤετο δεῖν ἀναβάλλεσθαι τὴν ὁδόν, ἀλλ' εἰπὼν „ἴωμεν" ἦν ἐν Ἐφέσῳ, τοῦ Πυθαγόρου, οἶμαι, ἐκεῖνο πράττων τὸ ἐν Θουρίοις ὁμοῦ καὶ Μεταποντίοις εἶναι. ξυναγαγὼν οὖν τοὺς Ἐφεσίους „θαρσεῖτε", ἔφη „τήμερον γὰρ παύσω τὴν νόσον", καὶ εἰπὼν ἦγεν ἡλικίαν πᾶσαν ἐπὶ τὸ θέατρον, οὗ τὸ τοῦ Ἀποτροπαίου ἵδρυται. πτωχεύειν δέ τις ἐνταῦθα ἐδόκει γέρων ἐπιμύων τοὺς ὀφθαλμοὺς τέχνῃ, καὶ πήραν ἔφερε καὶ ἄρτου ἐν αὐτῇ τρύφος, ῥάκεσί τε ἠμφίεστο καὶ αὐχμηρῶς εἶχε τοῦ προσώπου. περιστήσας οὖν τοὺς Ἐφεσίους αὐτῷ „βάλλετε τὸν θεοῖς ἐχθρὸν" εἶπε „ξυλλεξάμενοι τῶν λίθων ὡς πλείους". θαυμαζόντων δὲ τῶν Ἐφεσίων, ὅ τι λέγοι, καὶ δεινὸν ἡγουμένων, εἰ ξένον ἀποκτενοῦσιν ἀθλίως οὕτω πράττοντα, καὶ γὰρ ἱκέτευε καὶ πολλὰ ἐπὶ ἐλέῳ ἔλεγεν, ἐνέκειτο παρακελευόμενος τοῖς Ἐφεσίοις ἐρείδειν τε καὶ μὴ ἀνιέναι. ὡς δὲ ἀκροβολισμῷ τινες ἐπ' αὐτῷ ἐχρήσαντο καὶ καταμύειν δοκῶν ἀνέβλεψεν ἀθρόον πυρός τε μεστοὺς τοὺς ὀφθαλμοὺς ἔδειξε, ξυνῆκαν οἱ Ἐφέσιοι τοῦ δαίμονος καὶ κατελίθωσαν οὕτως αὐτόν, ὡς κολωνὸν λίθων περὶ
148 αὐτὸν χώσασθαι. διαλιπὼν δὲ ὀλίγον ἐκέλευσεν ἀφελεῖν τοὺς λίθους, καὶ τὸ θηρίον, ὃ ἀπεκτόνασι, γνῶναι. γυμνωθέντος οὖν τοῦ βεβλῆσθαι δοκοῦντος ὁ μὲν ἠφάνιστο, κύων δὲ τὸ μὲν εἶδος ὅμοιος τῷ ἐκ Μολοττῶν, μέγεθος δὲ κατὰ τὸν μέγιστον λέοντα ξυντετριμμένος ὤφθη ὑπὸ τῶν λίθων καὶ παραπτύων ἀφρόν, ὥσπερ οἱ λυττῶντες. τὸ μὲν δὴ τοῦ Ἀποτροπαίου ἔδος, ἔστι δὲ Ἡρακλῆς, ἵδρυται περὶ τὸ χωρίον, ἐν ᾧ τὸ φάσμα ἐβλήθη.

xi Καθήρας δὲ τοὺς Ἐφεσίους τῆς νόσου καὶ τῶν κατὰ τὴν Ἰωνίαν ἱκανῶς ἔχων ἐς τὴν Ἑλλάδα ὥρμητο. βαδίσας οὖν ἐς τὸ Πέργαμον καὶ ἡσθεὶς τῷ τοῦ Ἀσκληπιοῦ ἱερῷ τοῖς τε ἱκετεύουσι τὸν θεὸν ὑποθέμενος, ὁπόσα δρῶντες εὐξυμβόλων ὀνειράτων τεύξονται, πολλοὺς δὲ καὶ ἰασάμενος ἦλθεν ἐς τὴν Ἰλιάδα καὶ πάσης τῆς περὶ αὐτῶν ἀρχαιολογίας ἐμφορηθεὶς ἐφοίτησεν ἐπὶ τοὺς τῶν Ἀχαιῶν τάφους, καὶ πολλὰ μὲν εἰπὼν ἐπ' αὐτοῖς, πολλὰ δὲ τῶν ἀναίμων τε καὶ καθαρῶν καθαγίσας τοὺς μὲν ἑταίρους ἐκέλευσεν ἐπὶ τὴν ναῦν χωρεῖν, αὐτὸς δὲ ἐπὶ τοῦ κολωνοῦ τοῦ Ἀχιλλέως ἐννυχεύσειν ἔφη. δεδιττομένων οὖν τῶν ἑταίρων αὐτόν, καὶ γὰρ δὴ καὶ οἱ Διοσκορίδαι καὶ οἱ Φαίδιμοι καὶ ἡ τοιάδε ὁμιλία πᾶσα ξυνῆσαν ἤδη τῷ Ἀπολλωνίῳ, τόν τε Ἀχιλλέα φοβερὸν ἔτι φασκόντων φαίνεσθαι, τουτὶ γὰρ καὶ τοὺς ἐν τῷ Ἰλίῳ περὶ αὐτοῦ πεπεῖσθαι „καὶ μὴν ἐγὼ" ἔφη „τὸν Ἀχιλλέα σφόδρα οἶδα ταῖς ξυνουσίαις χαίροντα, τόν τε γὰρ Νέστορα τὸν ἐκ τῆς Πύλου μάλα ἡσπάζετο,

1. προορῶσιν; l, a, m. προορῶσιν. o. ib. εἰ δὲ ἓν — δόξει. Φ. (333, a, 9.) ib. δὲ τούτων. s, E. ib. ἐλλείψοι, ΦΒ. ἐλλείψειε. ΦΑ. 2. πονηρὸν. Φ. 3. πρὸς ἑαυτοὺς. Φ. πρὸς αὐτοὺς. l, (l: αὐτοὺς) E. ib. οἱ ὅρμοι. l. 4. μεστὰ δὲ. v, Φ. μετὰ δὲ. 1, f, l, s, E. ib. ἀσφαλὴς. p. ἀσφάλειος. f, l, v, Φ. ib. αὐτοὺς. o. αὐτῆς. Φ.

6. ἐπεὶ δὲ. π, s, E. ἐπειδὴ δὲ. f, v, l. ἐπεὶ δὴ δὲ. p. ex corr. 8. ἀναβαλέσθαι. l. 9. ἐκεῖνο οἶμαι. v. ib. θηρίοις. p. Θουρίοις. o. ib. οὖν. om. v. 10. τήμερον παύσω. E. 12. post ὀφθαλμοὺς lacuna in π usque ad 150, 27. ἔστι γὰρ. ib. πήρας. v. 14. ὡς πλείους. C, E. Fo: ὡς πλείστους. ib. θαυμαζόντων. s, E. θαυμασάντων. p, f, v, l. 15. καὶ γὰρ — ἔλεγεν. Φ. (333, a, 15.) 16. τε. om. v. 17. ἀθρόως. l. 18. ξυνὼν καὶ οἱ. v. ib. κατελίθασαν. p. ib. ὡς κολωνὸν — χώσασθαι. Φ. (333, a, 16.) 19. χώσαντες. 2, E. 20. ὅμοιον. v. 21. συντετριμμένος. f. συντετριμμένον. v. 22. Ἀπολλωνίου. v. ib. ἔδος. v et s, (ex corr.) B. εἶδος. p, f, l, E. ib. ἔτι. o et m. (γρ. ἔστι.) ἔστι et H. 77.

24. Αἰολίδα. B. 26. εὐξ. ὁ. τεύξονται. Φ. (333, a, 17.) ib. τεύξωνται. m, o. 27. Ἑλλάδα. f, v, l. 28. ἀναίμων τε καὶ καθαρῶν. p. ἀναίμων. 2, a, o. ἀνέμων. m. ib. καθαγιάσας. p. 29. ἐπὶ τὴν ναῦν. p. ἐπὶ ναῦν. 2, E. 30. τῶν. om. m. ib. Διοσκουρίδαι. p. 31. πᾶσαν. v. 32. περὶ αὐτοὺς. p. 33. μᾶλλον. p.

IV, 10. 11. p. 147. 148.

ἐπειδὴ ἀεί τι αὐτῷ διῄει χρηστόν, τόν τε Φοίνικα τροφέα καὶ ὀπαδὸν καὶ τὰ τοιαῦτα τιμῶν ἐνόμιζεν, ἐπειδὴ διῆγεν αὐτὸν ὁ Φοῖνιξ λόγοις, καὶ τὸν Πρίαμον δὲ καίτοι πολεμιώτατον αὐτῷ ὄντα 149
πρᾳότατα εἶδεν, ἐπειδὴ διαλεγομένου ἤκουσε, καὶ Ὀδυσσεῖ δὲ ἐν διχοστασίᾳ ξυγγενόμενος οὕτω μέτριος ὤφθη, ὡς καλὸς τῷ Ὀδυσσεῖ μᾶλλον ἢ φοβερὸς δόξαι. τὴν μὲν δὴ ἀσπίδα καὶ τὴν κόρυν τὴν δεινόν, ὥς φασι, νεύουσαν, ἐπὶ τοὺς Τρῶας οἶμαι αὐτῷ εἶναι μεμνημένῳ, ἃ ὑπ' αὐτῶν ἔπαθεν ἀπιστησάντων πρὸς αὐτὸν ὑπὲρ τοῦ γάμου, ἐγὼ δὲ οὔτε μετέχω τι τοῦ Ἰλίου διαλέξομαί τε αὐτῷ χαριέστερον ἢ οἱ τοτε ἑταῖροι, κἂν ἀποκτείνῃ με, ὥς φατε, μετὰ Μέμνονος δήπου καὶ Κύκνου κείσομαι καὶ ἴσως με ἐν καπέτῳ κοίλῃ, καθάπερ τὸν Ἕκτορα, ἡ Τροία θάψει." τοιαῦτα πρὸς τοὺς ἑταίρους ἀναμὶξ παίξας τε καὶ σπουδάσας προσέβαινε τῷ κολωνῷ μόνος, οἱ δὲ ἐβάδιζον ἐπὶ τὴν ναῦν ἐσπέρας ἤδη. ὁ δὲ Ἀπολλώνιος περὶ ὄρθρον ἦκων „ποῦ" ἔφη „Ἀντισθένης ὁ Πάριος"; XII
ἑβδόμην δὲ οὗτος ἡμέραν ἐτύγχανεν ἤδη προσπεφοιτηκὼς αὐτῷ ἐν Ἰλίῳ. ὑπακούσαντος δὲ τοῦ Ἀντισθένους „προσήκεις τι", ἔφη „ὦ νεανία, τῇ Τροίᾳ"; „σφόδρα", εἶπεν „εἰμὶ γὰρ δὴ ἄνωθεν Τρώς". „ἦ καὶ Πριαμίδης;" „νὴ Δί'," εἶπεν „ἐκ τούτου γὰρ δὴ ἀγαθός τε οἶμαι κἀξ ἀγαθῶν εἶναι". „εἰκότως οὖν" ἔφη „ὁ Ἀχιλλεὺς ἀπαγορεύει μοι μὴ ξυνεῖναί σοι, κελεύσαντος γὰρ αὐτοῦ πρεσβεῦσαί με πρὸς τοὺς Θετταλοὺς περὶ ὧν αἰτιᾶται σφᾶς, ὡς ἠρόμην, τί ἂν πρὸς τοῦτῳ ἕτερον πρὸς χάριν αὐτῷ πράττοιμι, τὸ μειράκιον ἔφη τὸ ἐκ Πάρου μὴ ποιούμενος ξυνέμπορον τῆς ἑαυτοῦ σοφίας, Πριαμίδης τε γὰρ ἱκανῶς ἐστι καὶ τὸν Ἕκτορα ὑμνῶν οὐ παύεται." ὁ μὲν δὴ Ἀντισθένης ἄκων ἀπῆλθεν, ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ τὸ πνεῦμα ἐκ τῆς γῆς ἐπεδίδου περί τε ἀναγω- XIII
γὴν ἡ ναῦς εἶχεν, ἐπέρρεον αὐτῇ σμικρᾷ οὔσῃ πλείους ἕτεροι βουλόμενοι τῷ Ἀπολλωνίῳ ξυμπλεῖν, καὶ γὰρ μετόπωρον ἤδη ἐτύγχανε καὶ ἡ θάλαττα ἧττον βεβαία. πάντες οὖν καὶ χειμῶνος καὶ πυρὸς 150
καὶ τῶν χαλεπωτάτων κρείττω τὸν ἄνδρα ἡγούμενοι ξυνεμβαίνειν ἤθελον καὶ ἐδέοντο προσδοῦναί σφισι τῆς κοινωνίας τοῦ πλοῦ. ἐπεὶ δὲ τὸ πλήρωμα πολλαπλάσιον ἦν τῆς νεώς, ναῦν μείζω ἑτέραν ἐπισκεψάμενος, πολλαὶ δὲ περὶ τὸ Αἰάντειον ἦσαν „ἐνταῦθα" ἔφη „ἐμβαίνωμεν, καλὸν γὰρ τὸ μετὰ πλειόνων σώζεσθαι." περιβαλὼν οὖν τὸ Τρωικὸν ἀκρωτήριον, ἐκέλευσε τὸν κυβερνήτην κατασχεῖν ἐς τὴν Αἰολέων, ἣ ἀντιπέρας Λέσβου κεῖται, πρὸς Μήθυμνάν τε μᾶλλον τετραμμένον ποιεῖσθαι τὸν ὅρμον. „ἐνταῦθα γάρ που τὸν Παλαμήδην φησὶν ὁ Ἀχιλλεὺς κεῖσθαι, οὗ καὶ ἄγαλμα αὐτοῦ εἶναι πηχυαῖον, ἐν πρεσβυτέρῳ, ἢ ὡς Παλαμήδης, τῷ εἴδει." καὶ ἅμα ἐξιὼν τῆς νεὼς „ἐπιμεληθῶμεν", εἶπεν „ὦ ἄνδρες Ἕλληνες, ἀγαθοῦ ἀνδρός, δι' ὃν σοφία πᾶσα, καὶ γὰρ ἄν καὶ τῶν γε Ἀχαιῶν βελτίους γενοίμεθα, τιμῶντες δι' ἀρετην, ὃν ἐκεῖνοι δίκῃ οὐδεμιᾷ ἀπέκτειναν." οἱ μὲν δὴ ἐξεπήδων τῆς νεώς, ὁ δὲ ἐνέτυχε τῷ τάφῳ καὶ τὸ ἄγαλμα κατορωρυγμένον πρὸς αὐτῷ εὗρεν. ὑπογέγραπτο δὲ τῇ βάσει τοῦ ἀγάλματος ΘΕΙΩΙ ΠΑΛΑΜΗΔΕΙ. καθιδρύσας οὖν αὐτό, ὡς κἀγὼ εἶδον, καὶ ἱερὸν περὶ αὐτὸ βαλόμενος, ὅσον οἱ τὴν Ἐνοδίαν τιμῶντες, ἔστι γὰρ ὡς δέκα ξυμπότας ἐν αὐτῷ εὐωχεῖσθαι, τοιάνδε εὐχὴν ηὔξατο· „Παλάμηδες, ἐκλάθου τῆς μήνιδος, ἣν ἐν τοῖς Ἀχαιοῖς ποτε ἐμήνισας, καὶ δίδου γίγνεσθαι πολλούς τε καὶ σοφοὺς ἄνδρας. ναὶ Παλάμηδες, δι' ὃν λόγοι, δι' ὃν Μοῦσαι, δι' ὃν ἐγώ."

1. ἀεὶ ταὐτῷ. v. ib. τιμῶν ἐνόμιζεν. p. ἐνόμιζεν. 2, E. Fo. τιμᾶν ἐνόμιζεν. 3. πρᾳότατον. s, a, m. 5. αὐτῷ οἶμαι. v. ib. εἶναι. om. p. ib. μεμνημένον l. 6. οὔτε. p. οὐδὲ. 2, E. ib. τί. a. 8. πρὸς ἑταίρους. v. 9. προσέμβαινε. l. ib. ἐπὶ. v. 10. τὴν ὄρθριον. p. τὸν ὄρθρον. 2, E. 11. προσπεφυκὼς. v. πεφοιτηκὼς. l. 12. δὴ. om. v. 13. τρῴς. a. ib. γὰρ. om. p. 14. με μὴ. v. 15. τοὺς. om. v. ib. αἰτιᾶ. f, l. ib. τοῦτο. v. 16. ἐκ Πάρου. p. ἐκ τοῦ Πάρου. 2, E. ib. τῆς ἑαυτοῦ. C. τῆς σεαυτοῦ. E. 17. Πριαμίδης — παύεται. Ἐ. (451.) ib. γὰρ. om. l. ib. ἱκανὸς. l. 18. ἐπειδὴ. v. 19. σμικρᾷ. E. μικρᾷ. C. 20. καὶ γὰρ — βεβαία. Φ. (333, a, 18.) ib. ἧττων. s, l, E. 21. ξυμβαίνειν. p, l. 22. δὴ τὸ. v. 23. δ' ἂν περὶ. v. ib. Αἰάντιον. l. ib. ἐμβαίνομεν. m. ib. τὸ. om. p. 25. Αἰολέων. p, B. Αἰολέαν. v, l. Αἰολίαν. s, E. ib. Μέθυμναν. v. 26. Παλαμήδη. s, a. ib. φασίν. p. ib. ὁ. om. s, a, m. 27. ἢ ὡς. p. ἢ ὁ. 2, E. 28. πᾶσα σοφία. v. 29. γε. om. v. ib. δ' ἀρετὴν. v. 31. ὑπογέγραπτο. p, s, a, m, o. ὑπεγέγραπτο. l, v. Fo: ἐπεγέγραπτο. 32. παρ' αὐτὸ. p. ib. ὡς δέκα. π. καὶ δέκα. p, 2, E. 35. μοῦσαι. E. ib. δι' ὃν ἐγώ, δι' ὃν μοῦσαι. l.

XIV 151 Παρῆλθε καὶ ἐς το τοῦ Ὀρφέως ἄδυτον προσορμισάμενος τῇ Λέσβῳ. φασὶ δὲ ἐνταῦθά ποτε τὸν Ὀρφέα μαντικῇ χαίρειν, ἐς τὸν Ἀπόλλω ἐπιμεμελῆσθαι αὐτόν. ἐπειδὴ γὰρ μήτε ἐς Γρύνειον ἐφοίτων ἔτι ὑπὲρ χρησμῶν ἄνθρωποι μήτε ἐς Κλάρον μήτ' ἔνθα ὁ τρίπους ὁ Ἀπολλώνειος, Ὀρφεὺς δὲ ἔχρα μόνος ἄρτι ἐκ Θρᾴκης ἡ κεφαλὴ ἥκουσα, ἐφίσταταί οἱ χρησμῳδοῦντι ὁ θεὸς καὶ „πέπαυσο“ ἔφη „τῶν ἐμῶν, καὶ γὰρ δὴ ᾄδοντά σε ἱκανῶς ἤνεγκα“.

XV Πλεόντων δὲ αὐτῶν μετὰ ταῦτα τὸ ἐπ' Εὐβοίας πέλαγος, ὃ καὶ Ὁμήρῳ δοκεῖ τῶν χαλεπῶν καὶ δυσμετρήτων εἶναι, ἡ μὲν θάλαττα ὑπτία καὶ τῆς ὥρας κρείττων ἐφαίνετο λόγοι τε ἐγίγνοντο περί τε νήσων, ἐπειδὴ πολλαῖς τε καὶ ὀνομασταῖς ἐνετύγχανον, περί τε ναυπηγίας καὶ κυβερνητικῆς πρόσφοροι τοῖς πλέουσιν, ἐπεὶ δὲ ὁ Ἄμις τοὺς μὲν διέβαλλε τῶν λόγων, τοὺς δὲ ὑπετέμνετο, τοὺς δὲ οὐ ξυνεχώρει ἐρωτᾶν, ξυνῆκεν ὁ Ἀπολλώνιος, ὅτι λόγον ἕτερον σπουδάσαι βούλοιτο, καὶ „τί παθών“, ἔφη „ὦ Ἄμι, διασπᾷς τὰ ἐρωτώμενα; οὐ γὰρ ναυτιῶν γε ἢ ὑπὸ τοῦ πλοῦ πονήρως ἔχων ἀποστρέφῃ τοὺς λόγους, ἡ γὰρ θάλαττα, ὁρᾷς, ὡς ὑποτέθεικεν ἑαυτὴν τῇ νηὶ καὶ πέμπει. τί οὖν δυσχεραίνεις;“ „ὅτι“ ἔφη „λόγου μεγάλου ἐν μέσῳ ὄντος, ὃν εἰκὸς ἦν ἐρωτᾶν μᾶλλον, ἡμεῖς δὲ τοὺς ἑώλους τε καὶ ἀρχαίους ἐρωτῶμεν.“ καὶ τίς“ εἶπεν „ὁ λόγος οὗτος εἴη ἄν, δι' ὃν τοὺς ἄλλους ἡγῇ περιττούς;“ „Ἀχιλλεῖ“ ἔφη „ξυγγενόμενος, ὦ Ἀπολλώνιε, καὶ πολλὰ ἴσως διακηκοὼς μήπω ἡμῖν γιγνωσκόμενα οὐ δίεις ταῦτα, οὐδὲ τὸ εἶδος ἡμῖν τοῦ Ἀχιλλέως ἀνατυποῖς, περιπλεῖς δὲ τὰς νήσους καὶ ναυπηγεῖς τῷ λόγῳ.“ „εἰ μὴ ἀλαζονεύεσθαι“ ἔφη „δόξω, πάντα εἰρήσεται.“ δεομένων δὲ καὶ τῶν ἄλλων τοῦ λόγου τούτου καὶ φιλικόως ἐχόντων αὐτοῦ „ἀλλ' οὐχὶ βόθρον“ εἶπεν „Ὀδυσσέως ὀρυξάμενος, οὐδὲ ἀρνῶν αἵματι ψυχαγωγήσας ἐς διάλεξιν τοῦ Ἀχιλλέως ἦλθον, ἀλλ' εὐξάμενος, ὁπόσα τοῖς ἥρωσιν Ἰνδοί φασιν εὔχεσθαι, „ὦ Ἀχιλλεῦ,“ ἔφην „τεθνάναι σε οἱ πολλοὶ τῶν ἀνθρώπων φασίν, ἐγὼ δὲ οὐ ξυγχωρῶ τῷ λόγῳ, οὐδὲ Πυθαγόρας σοφίας ἐμῆς πρόγονος. εἰ δὴ ἀληθεύομεν, δεῖξον ἡμῖν τὸ σεαυτοῦ εἶδος, καὶ γὰρ ἂν ὄναιο ἄγαν τῶν ἐμῶν ὀφθαλμῶν, εἰ μάρτυσιν αὐτοῖς τοῦ εἶναι χρήσαιο.“ ἐπὶ τούτοις σεισμὸς μὲν περὶ τὸν κολωνὸν βραχὺς ἐγένετο, πεντάπηχυς δὲ νεανίας ἀνεδόθη Θετταλικὸς τὴν χλαμύδα, τὸ δὲ εἶδος οὐκ ἀλαζών τις ἐφαίνετο, ὡς ἐνίοις ὁ Ἀχιλλεὺς δοκεῖ, δεινός τε ὁρώμενος οὐκ ἐξηλλάττετο τοῦ φαιδροῦ, τὸ δὲ κάλλος οὔπω μοι δοκεῖ ἐπαινέτου ἀξίου ἐπειλῆφθαι καίτοι Ὁμήρου πολλὰ ἐπ' αὐτῷ εἰπόντος, ἀλλὰ ἄρρητον εἶναι καὶ καταλύεσθαι μᾶλλον ὑπὸ τοῦ ὑμνοῦντος ἢ παραπλησίως ἑαυτῷ ᾄδεσθαι. ὁρώμενος δέ, ὁπόσον εἶπον, μείζων ἐγίγνετο καὶ διπλάσιος καὶ ὑπὲρ τοῦτο, δωδεκάπηχυς γοῦν ἐφάνη μοι, ὅτε δὴ τελεώτατος ἑαυτοῦ ἐγένετο, καὶ τὸ κάλλος ἀεὶ ξυνεπεδίδου τῷ μήκει. τὴν μὲν δὴ κόμην οὐδὲ κείρασθαί ποτε ἔλεγεν, ἀλλὰ ἄσυλον φυλάξαι τῷ Σπερχειῷ, ποταμῶν γὰρ πρώτῳ Σπερχειῷ χρήσασθαι, τὰ γένεια δ' αὐτῷ πρώτας ἐκβολὰς εἶχε. προσειπὼν δὲ με „ἀσμένως“ εἶπεν „ἐντετύχηκά σοι, πάλαι δεόμενος ἀνδρὸς τοιοῦδε· Θετταλοὶ γὰρ τὰ ἐναγίσματα χρόνον ἤδη πολὺν ἐκλελοίπασί μοι, καὶ μηνίειν μὲν οὔπω ἀξιῶ, μηνίσαντος γὰρ ἀπολοῦνται μᾶλλον ἢ οἱ ἐνταῦθά ποτε

XVI 152

153

1. τοῦ. om. v. ib. προορμισάμενος. v. προσορμησάμενος. l. 2. εἰς τὸν Ἀ. 1, f, s, l. ἧς τὸν Α. v, o. Fo. ἔς τε Ἀ. ἐπιμελεῖσθαι. Et ἐπιμελεῖσθαι prima manu in l erat. ib. ἐς Γρύνιον. f, v. ἐς Γρούνιον. l, a. 3. ἐνταῦθα. l. ib. ὁ om. v. ib. Ἀπολλώνειος. π. Ἀπολλώνιος. p. Ἀπόλλωνος. 2, E. ib. ἐπεὶ δὲ Ὀρφεὺς ἔχρα μόνος, ἄρτι ἐκ Θρᾴκης ἥκουσα ἡ κεφαλὴ (ἄρτι ἥκ. ἡ κ. ἐκ. Θρ. B.) ἐφίσταται – ὁ Ἀπολλώνιος, καὶ πέπαυσο – ἤνεγκα. Φ. (333, a, 19.) 4. ἥκουσα. s.

7. ἐγένοντο. v. 8. ναυτιλίας καὶ κυβ. p. 9. διέβαλε. p, l. 10. ξυνῆκεν – ἕτερον ὁ Ἄμις σπ. βούλεται. Φ. (333, b, 24.) 13. δυσχαίρεις. l. sed corr. sec. m. ib. ἐν μέσῳ. om. p. ib. ἦν. om. p, l. 14. δι' ὧν. v. 16. δίης. π, m. δίει. p. διήεις. l. 17. τῶν λόγων. s, a et m γρ. ib. δόξω, ἔφη. f, l. δόξω om. a pr. m. s. 18. καὶ. om. f, v, l. ib. ὁμολογούμενον αὐτὸν ὑπογράφει, ὅτι μὴ κατὰ νεκρομαντείαν ὁ τρόπος αὐτῷ τῆς φανείσης ὄψεως γένοιτο. οὔτε γὰρ βόθρον, εἶπεν, Ὀδυσσέως – αἵμασι – ἦλθοι, ἀλλ' εὐξάμενος – δεῖν εὔξασθαι. ΕΑΒ. (450.) 20. φασιν εὔχεσθαι. 1. φασι δεῖν εὔχεσθαι. 2, E. 22. δεῖξον ἡμῖν, ὦ Ἀχιλλεῦ, τὸ — χρήσαιο. Φ. (333, a, 25.) 23. ἐπὶ τὸν κ. v. 24. οὐκ ἀλαζών. 1 et m. γρ. o. οὐδὲ ἀλ. 2, a, m. 25. ἐξηλάττετο. p. Fo: ἐξήλλαττε. 28. ὁπόσων. p. 29. τὸ μέγεθος ὅτε. 2, E. ib. δὲ τελ. v, l. ib. συνεπεδίδου. f, s, l. 30. ἄζυλον. m, o. 31. δέ με. 1. δὲ. 2, E. 33. μηνιεῖν. 2, E. ib. ἄπο μᾶλλον. p. ib. ἢ οἱ. om. p. οἱ om. v.

Ἕλληνες, ξυμβουλίᾳ δὲ ἐπιεικεῖ χρῶμαι, μὴ ὑβρίζειν σφᾶς ἐς τὰ νόμιμα, μηδὲ κακίους ἐλέγχεσθαι τουτωνὶ τῶν Τρώων, οἳ τοσούσδε ἄνδρας ὑπ' ἐμοῦ ἀφαιρεθέντες δημοσίᾳ τε θύουσί μοι καὶ ὡραίων ἀπάρχονται καὶ ἱκετηρίαν τιθέμενοι σπονδὰς αἰτοῦσιν, ἃς ἐγὼ οὐ δώσω· τὰ γὰρ ἐπιορκηθέντα τούτοις ἐπ' ἐμὲ οὐκ ἐάσει τὸ Ἴλιόν ποτε τὸ ἀρχαῖον ἀναλαβεῖν εἶδος, οὐδὲ τυχεῖν ἀκμῆς, ὁπόση περὶ πολλὰς τῶν καθῃρημένων ἐγένετο, ἀλλ' οἰκήσουσιν αὐτὸ βελτίους οὐδὲν ἢ εἰ χθὲς ἥλωσαν. ἵν' οὖν μὴ καὶ τὰ Θετταλῶν ἀποφαίνω ὅμοια, πρέσβευε παρὰ τὸ κοινὸν αὐτῶν ὑπὲρ ὧν εἶπον." „πρεσβεύσω", ἔφην „ὁ γὰρ νοῦς τῆς πρεσβείας ἦν μὴ ἀπολέσθαι αὐτούς. ἀλλ' ἐγώ τί σου, Ἀχιλλεῦ, δέομαι." „ξυνίημι", ἔφη „δῆλος γὰρ εἶ περὶ τῶν Τρωικῶν· ἐρώτα δὲ λόγους πέντε, οὓς αὐτός τε βούλει καὶ Μοῖραι ξυγχωροῦσιν." ἠρόμην οὖν πρῶτον, εἰ κατὰ τὸν τῶν ποιητῶν λόγον ἔτυχε τάφου. „κεῖμαι μέν," εἶπεν „ὡς ἔμοιγε ἥδιστον καὶ Πατρόκλῳ ἐγένετο, ξυνέβημεν γὰρ δὴ κομιδῇ νέοι, ξυνέχει δὲ ἄμφω χρυσοῦς ἀμφορεὺς κειμένους, ὡς ἕνα. Μουσῶν δὲ θρῆνοι καὶ Νηρηίδων, οὓς ἐπ' ἐμοὶ γενέσθαι φασί, Μοῦσαι μὲν οὐδ' ἀφίκοντό ποτε ἐνταῦθα, Νηρηίδες δὲ ἐπιφοιτῶσι." μετὰ ταῦτα δὲ ἠρόμην, εἰ ἡ Πολυξένη ἐπισφαγείη αὐτῷ, ὁ δὲ ἀληθὲς μὲν ἔφη τοῦτο εἶναι, σφαγῆναι δὲ αὐτὴν οὐχ ὑπὸ τῶν Ἀχαιῶν, ἀλλ' ἑκοῦσαν ἐπὶ τὸ σῆμα ἐλθοῦσαν καὶ τὸν ἑαυτῆς τε κἀκείνου ἔρωτα μεγάλων ἀξιῶσαι προσπεσοῦσαν ξίφει ὀρθῷ. τρίτον ἠρόμην· ἡ Ἑλένη, ὦ Ἀχιλλεῦ, ἐς Τροίαν ἦλθεν ἢ Ὁμήρῳ ἔδοξεν ὑποθέσθαι ταῦτα;" „πολὺν" ἔφη „χρόνον ἐξηπατώμεθα πρεσβευόμενοί τε παρὰ τοὺς Τρῶας καὶ ποιούμενοι τὰς ὑπὲρ αὐτῆς μάχας, ὡς ἐν τῷ Ἰλίῳ οὔσης, ἡ δ' Αἴγυπτόν τε ᾤκει καὶ τὸν Πρωτέως οἶκον ἁρπασθεῖσα ὑπὸ τοῦ Πάριδος. ἐπεὶ δὲ ἐπιστεύθη τοῦτο, ὑπὲρ αὐτῆς τῆς Τροίας λοιπὸν ἐμαχόμεθα, ὡς μὴ αἰσχρῶς ἀπέλθοιμεν." ἡψάμην καὶ τετάρτης ἐρωτήσεως καὶ θαυμάζειν ἔφην, εἰ τοσούσδε ὁμοῦ καὶ τοιούσδε ἄνδρας ἡ Ἑλλὰς ἤνεγκεν, ὁπόσους Ὅμηρος ἐπὶ τὴν Τροίαν ξυντάττει. ὁ δὲ Ἀχιλλεὺς οὐδὲ „οἱ βάρβαροι" ἔφη „πολὺ ἡμῶν ἐλείποντο, οὕτως ἡ γῆ πᾶσα ἀρετῆς ἤνθησε." πέμπτον δ' ἠρόμην· τί παθὼν Ὅμηρος τὸν Παλαμήδην οὐκ οἶδεν, ἢ οἶδε μέν, ἐξαιρεῖ δὲ τοῦ περὶ ὑμῶν λόγου; „εἰ Παλαμήδης" εἶπεν „ἐς Τροίαν οὐκ ἦλθεν, οὐδὲ Τροία ἐγένετο· ἐπεὶ δὲ ἀνὴρ σοφώτατός τε καὶ μαχιμώτατος ἀπέθανεν, ὡς Ὀδυσσεῖ ἔδοξεν, οὐκ ἐσάγεται αὐτὸν ἐς τὰ ποιήματα Ὅμηρος, ὡς μὴ τὰ ὀνείδη τοῦ Ὀδυσσέως ᾄδοι." καὶ ἐπολοφυράμενος αὐτῷ ὁ Ἀχιλλεὺς ὡς μεγίστῳ τε καὶ καλλίστῳ νεωτάτῳ τε καὶ πολεμικωτάτῳ σωφροσύνῃ τε ὑπερβαλομένῳ πάντας καὶ πολλὰ ξυμβαλομένῳ ταῖς Μούσαις „ἀλλὰ σύ," ἔφη „Ἀπολλώνιε, σοφοῖς γὰρ πρὸς σοφοὺς ἐπιτήδεια, τοῦ τε τάφου ἐπιμελήθητι καὶ τὸ ἄγαλμα τοῦ Παλαμήδους ἀνάλαβε φαύλως ἐρριμμένον· κεῖται δὲ ἐν τῇ Αἰολίδι κατὰ Μήθυμναν τὴν ἐν Λέσβῳ." ταῦτα εἰπὼν καὶ ἐπὶ πᾶσι τὰ περὶ τὸν νεανίαν τὸν ἐκ Πάρου ἀπῆλθε ξὺν ἀστραπῇ μετρίᾳ, καὶ γὰρ δὴ καὶ ἀλεκτρυόνες ἤδη ᾠδῆς ἥπτοντο.

154

Τοιαῦτα μὲν τὰ ἐπὶ τῆς νεώς, ἐς δὲ τὸν Πειραιᾶ ἐσπλεύσας περὶ μυστηρίων ὥραν, ὅτε Ἀθηναῖοι πολυανθρωπότατα Ἑλλήνων πράττουσιν, ἀνῄει ξυντείνας ἀπὸ τῆς νεὼς ἐς τὸ ἄστυ, προιὼν δὲ πολλοῖς τῶν φιλοσοφούντων ἐνετύγχανε Φάληράδε κατιοῦσιν, ὧν οἱ μὲν γυμνοὶ ἐθέροντο, καὶ

XVII 155

1. συμβουλία. s, l. 4. ἀκμῆς οὐδὲ τυχεῖν. v. 5. κατηρημένων. f. ib. ἐγένοντο. a. ib. αὐτῶ. v. ib. εἰ. om. a. 6. τὰ Θετταλῶν. π. τὰ τῶν Θετταλῶν. p, 2, E. 7. ἔφη. p, v. ib. σοῦ τι. v. σοῦ. om. p. 8. Fo: ἐρωτήσων· ἐρώτα. 9. τάφου. π. τοῦ τάφου. p, 2, E. 10. μὲν. om. 2, a, m. ib. ἐμοίγε. l. ib. γὰρ δὴ. 1. γὰρ. 2, E. 11. ἀμφορεὺς. π, l. ἀμφιφορεὺς. p, 2, E. ib. Μουσῶν δὲ θρήνων καὶ Νηρηΐδων, οὓς — ἔτι φοιτῶσι. Φ. (333, a, 26.) ib. θρῆνον. π, 2, E. θρήνων. p, ΦA, B. θρήνους. ΦE. Sc.: θρῆνοι. ib. οὓς C, a, m. ον. o. 12. ἐπιφοιτῶσι. 1. ἔτι φοιτῶσι. 2, E, Φ. τῶ σήματι.

13. ἠρώμην. v. 14. μὲν αὐτὴν. 2, a. ib. ὑπὸ τὸ σῆμα. p. ἐπὶ τὸ σῆμα. f. al. m. ἐπὶ om. v, s, a et l. ubi τῷ σήματι 16. ἔφη. om. s, a. 17. μάχας, ὡς ἐν τῷ Ἰλίῳ οὔσης. π, s, E. μάχας ἐντὸς Ἰλίου οὔσαν. p. μάχας τὰς ἐν τῷ Ἰ. οὔσας. f, l. 19. λοιπὸν. om. p. 21. τάττει. p et l pr. m. ib. ἔτι δὲ ἔφη ὁ Ἀχιλλεὺς ὡς οὐδὲ — βάρβαροι πολὺ — ἤνθησε. Φ. (333, a, 29.) 22. πέμπτον δ' ἠρόμην. p. πέμπτον ἠρόμην. π, 2, E. 23. ἐξαιρεῖ. π. ἐξαίρει. p, 2, E. 24. εἰσάγεται. 1. 25. ἐπολοφυράμενος. 1. ἐπολοφυρόμενος. 2, E. 26. σωφροσύνῃ τε. 1. σωφρ. δὲ. 2, E. ib. ὑπερβαλλομένῳ. p, l. 27. ξυμβαλλομένῳ. p, l. 28. τὸ Παλαμήδους. p. 29. κεῖται μὲν. l. ib. Μέθυμναν. m, o. ib. περὶ νεανίαν. m, o. 30. ἀπῆλθε γάρ φησι ξὺν ἀστραπῇ — ἥπτοντο. E. (451.) ib. καὶ γὰρ — ἥπτοντο. Φ. (333, a, 31.)

31. ἐκπλεύσας. l. 32. ἀνείη. v. 33. ἐτύγχανε. f, v, l. ib. Φάληρα κατιοῦσιν. π. Φάληρα δὲ κατ. p. ex corr. Φαλήραδε κατ'. 2. a, m. Πειραιᾶ δὲ κατ'. o.

γὰρ τὸ μετόπωρον εὐήλιον τοῖς Ἀθηναίοις, οἱ δὲ ἐκ βιβλίων ἐσπούδαζον, οἱ δ' ἀπὸ στόματος ἤσκηντο, οἱ δὲ ἤριζον. παρῆει δὲ οὐδεὶς αὐτόν, ἀλλὰ τεκμηράμενοι πάντες, ὡς εἴη Ἀπολλώνιος, ξυνανεστρέφοντό τε καὶ ἠσπάζοντο χαίροντες, νεανίσκοι δὲ ὁμοῦ δέκα περιτυχόντες αὐτῷ „νὴ τὴν Ἀθηνᾶν ἐκείνην," ἔφασαν ἀνατείναντες τὰς χεῖρας ἐς τὴν ἀκρόπολιν, ἡμεῖς ἄρτι ἐς Πειραιᾶ ἐβαδίζομεν πλευσόμενοι ἐς Ἰωνίαν παρὰ σέ." ὁ δὲ ἀπεδέχετο αὐτῶν καὶ ξυγχαίρειν ἔφη φιλοσοφοῦσιν.

XVIII Ἦν μὲν δὴ Ἐπιδαυρίων ἡμέρα. τὰ δὲ Ἐπιδαύρια μετά πρόσρησίν τε καὶ ἱερεῖα δεῦρο μυεῖν Ἀθηναίοις πάτριον ἐπὶ θυσίᾳ δευτέρᾳ, τουτὶ δὲ ἐνόμισαν Ἀσκληπιοῦ ἕνεκα, ὅτι δὴ ἐμύησαν αὐτὸν ἥκοντα Ἐπιδαυρόθεν ὀψὲ μυστηρίων. ἀμελήσαντες δὲ οἱ πολλοὶ τοῦ μυεῖσθαι περὶ τὸν Ἀπολλώνιον
156 εἶχον καὶ τοῦτ' ἐσπούδαζον μᾶλλον ἢ τὸ ἀπελθεῖν τετελεσμένοι, ὁ δὲ ξυνέσεσθαι μὲν αὐτοῖς αὖθις ἔλεγεν, ἐκέλευσε δὲ πρὸς τοῖς ἱεροῖς τότε γίγνεσθαι, καὶ γὰρ αὐτὸς μυεῖσθαι, ὁ δὲ ἱεροφάντης οὐκ ἐβούλετο παρέχειν τὰ ἱερά, μὴ γὰρ ἄν ποτε μυῆσαι γόητα, μηδὲ τὴν Ἐλευσῖνα ἀνοῖξαι ἀνθρώπῳ μὴ καθαρῷ τὰ δαιμόνια. ὁ δὲ Ἀπολλώνιος οὐδὲν ὑπὸ τούτων ἧττων αὐτοῦ γενόμενος „οὕπω" ἔφη „τὸ μέγιστον, ὧν ἐγὼ ἐγκληθείην ἄν, εἴρηκας, ὅτι περὶ τῆς τελετῆς πλείω ἢ σὺ γιγνώσκων ἐγὼ δὲ ὡς παρὰ σοφώτερον ἐμαυτοῦ μυησόμενος ἦλθον." ἐπαινεσάντων δὲ τῶν παρόντων, ὡς ἐρρωμένως καὶ παραπλησίως αὐτῷ ἀπεκρίνατο, ὁ μὲν ἱεροφάντης, ἐπειδὴ ἐξείργων αὐτὸν οὐ φίλα τοῖς πολλοῖς ἐδόκει πράττειν, μετέβαλε τοῦ τόνου καὶ „μυοῦ", ἔφη „σοφὸς γάρ τις ἥκειν ἔοικας", ὁ δὲ Ἀπολλώνιος „μυήσομαι" ἔφη „αὖθις, μυήσει δέ με ὁ δεῖνα" προγνώσει χρώμενος ἐς τὸν μετ' ἐκεῖνον ἱεροφάντην, ὃς μετὰ τέτταρα ἔτη τοῦ ἱεροῦ προΐστη.

XIX Τὰς δὲ Ἀθήνησι διατριβὰς πλείστας μὲν ὁ Δάμις γενέσθαι φησὶ τῷ ἀνδρί, γράψαι δὲ οὐ πάσας, ἀλλὰ τὰς ἀναγκαίας τε καὶ περὶ μεγάλων σπουδασθείσας. τὴν μὲν δὴ πρώτην διάλεξιν, ἐπειδὴ φιλοθύτας τοὺς Ἀθηναίους εἶδεν, ὑπὲρ ἱερῶν διελέξατο, καὶ ὡς ἄν τις ἐς τὸ ἑκάστῳ τῶν θεῶν οἰκεῖον καὶ πηνίκα δὲ τῆς ἡμέρας τε καὶ νυκτὸς ἢ θύοι ἢ σπένδοι ἢ εὔχοιτο, καὶ βιβλίῳ Ἀπολλωνίου προστυχεῖν ἔστιν, ἐν ᾧ ταῦτα τῇ ἑαυτοῦ φωνῇ ἐκδιδάσκει. διῆλθε δὲ ταῦτα Ἀθήνησι πρῶτον μὲν ὑπὲρ σοφίας αὐτοῦ τε κἀκείνων, εἶτ' ἐλέγχων τὸν ἱεροφάντην δι' ἃ βλασφήμως τε καὶ ἀμαθῶς εἶπε· τίς γὰρ ἔτι ᾠήθη τὰ δαιμόνια μὴ καθαρὸν εἶναι τὸν φιλοσοφοῦντα, ὅπως οἱ θεοὶ θεραπευτέοι;

XX 157 Διαλεγομένου δὲ αὐτοῦ περὶ τοῦ σπένδειν παρέτυχε μὲν τῷ λόγῳ μειράκιον τῶν ἁβρῶν οὕτως ἀσελγὲς νομιζόμενον, ὡς γενέσθαι ποτὲ καὶ ἁμαξῶν ᾆσμα, πατρὶς δὲ αὐτῷ Κέρκυρα ἦν καὶ ἐς Ἀλκίνουν ἀνέφερε τὸν ξένον τοῦ Ὀδυσσέως τὸν Φαίακα, καὶ διῄει μὲν ὁ Ἀπολλώνιος περὶ τοῦ σπένδειν, ἐκέλευε δὲ μὴ πίνειν τοῦ ποτηρίου τούτου, φυλάττειν δὲ αὐτὸ τοῖς θεοῖς ἄχραντόν τε καὶ ἄποτον. ἐπεὶ δὲ καὶ ὥτα ἐκέλευσε τῷ ποτηρίῳ ποιεῖσθαι καὶ σπένδειν κατὰ τὸ οὖς, ἀφ' οὗ μέρους ἥκιστα πίνουσιν ἄνθρωποι, τὸ μειράκιον κατεσκέδασε τοῦ λόγου πλατύν τε καὶ ἀσελγῆ γέλωτα· ὁ δὲ ἀναβλέψας ἐς αὐτὸ „οὐ σὺ" ἔφη „ταῦτα ὑβρίζεις, ἀλλ' ὁ δαίμων, ὃς ἐλαύνει σε οὐκ εἰδότα." ἐλελήθει δὲ ἄρα δαιμονῶν τὸ μειράκιον· ἐγέλα τε γὰρ ἐφ' οἷς οὐδεὶς ἕτερος καὶ μετέβαλλεν ἐς τὸ κλάειν αἰτίαν οὐκ ἔχον, διελέγετό τε πρὸς ἑαυτὸν καὶ ἤδε. καὶ οἱ μὲν πολλοὶ τὴν νεότητα σκιρτῶσαν ᾠοντο ἐκφέρειν αὐτὸ ἐς ταῦτα, ὁ δ' ὑπεκρίνετο ἄρα τῷ δαίμονι καὶ ἐδόκει παροινεῖν, ἃ ἐπα-

2. ἤσκηντο. C, E. Fo. ἠσκοῦντο. 3. συνανεστρέφοντο. f, s, l. 5. πλευσομένου. s.
6. ἡμέρα. 1. ἡ ἡμέρα. 2, E. 7. ἐμυήσαν. 1, o et m. γρ. ἐμυήσαντο. 2, a, m. 8. δὲ οἱ πολλοὶ. 1. δὲ πολλοὶ. 2, a. δὲ ἡ πολλοὶ. m, o. 10. ἐκέλευε. f, v. 11. ἠβούλετο. l. ib. μὴ ἄν ποτε φήσας μυήσεσθαι γόητα, μηδὲ τὰ Ἐλευσίνια — δαιμόνια. E. (452.) 12. αὐτοῦ. s, l. 13. ἐκκληθείην. v. ib. τελευτῆς. p. ib. γίγνώσκων. π et p. ante corr. γιγνώσκω. p, 2, E. 15. ἀπεφήνατο. v. 17. εἶπεν. l. ib. αὖτις. f. αὖτις. s.
19. φασὶ. f. 21. οἶδεν. v. ib. ἐς τὸ. v, s, B. ἐς τῷ. E. ib. ἕκαστον. p, v, l. 22. καὶ πηνίκα δὲ. 1. καὶ πηνίκα. 2, E. 24. αὐτοῦ. l, s.
27. ἁμαζῶν ᾆσμα. p. ἀναζώνασμα. π. Ἁμαζόνων ᾆσμα. 2, a, m. μαζονόμων ᾆσμα. o. ἁμαξῶν ᾆσμα B. 28. μὲν ὁ A. 1, v. μὲν δὴ ὁ A. f, l, s, E. ib. περὶ om. 2, a. 29. μὴ πίνειν. 1. μηδὲ πίνειν. 2, E. 30. καὶ om. p. ib. τοῦ ποτηρίου. p. 32. ἐς αὐτὸν. v. 33. ἐληλύθει. p. ib. δὲ γὰρ. s, a. ib. μετέβαλλεν. f, l. v. μετεβαλεν. 1, s, a, m. μετεβαβαλεν. o. ib. καὶ τὸ κλάειν. fc. a. 34. ἤδεν. f. 35. αὐτὸς. v.

IV, 18. 19. 20. p. 156. 157.

ρῳνει τότε, ὁρῶντός τε ἐς αὐτὸ τοῦ Ἀπολλωνίου, δεδοικότως τε καὶ ὀργίλως φωνὰς ἠφίει τὸ εἴδωλον, ὁπόσαι καιομένων τε καὶ στρεβλουμένων εἰσίν, ἀφέξεσθαί τε τοῦ μειρακίου ὤμυν καὶ μηδενὶ ἀνθρώπων ἐμπεσεῖσθαι. τοῦ δὲ οἷον δεσπότου πρὸς ἀνδράποδον ποικίλον πανοῦργόν τε καὶ ἀναιδὲς καὶ τὰ τοιαῦτα ξὺν ὀργῇ λέγοντος καὶ κελεύοντος αὐτῷ ξὺν τεκμηρίῳ ἀπαλλάττεσθαι „τὸν δεῖνα“ ἔφη „καταβαλῶ ἀνδριάντα“ δείξας τινὰ τῶν περὶ τὴν Βασίλειον στοάν, πρὸς ᾗ ταῦτα ἐπράττετο· 5 158
ἐπεὶ δὲ ὁ ἀνδριὰς ὑπεκινήθη πρῶτον, εἶτα ἔπεσε, τὸν μὲν θόρυβον τὸν ἐπὶ τούτῳ καὶ ὡς ἐκρότησαν ὑπὸ θαύματος τί ἄν τις γράφοι; τὸ δὲ μειράκιον, ὥσπερ ἀφυπνίσαν τούς τε ὀφθαλμοὺς ἔτριψε καὶ πρὸς τὰς αὐγὰς τοῦ ἡλίου εἶδεν αἰδῶ τε ἐπεσπάσατο πάντων ἐς αὐτὸ ἐστραμμένων ἀσελγές τε οὐκέτι ἐφαίνετο, οὐδὲ ἄτακτον βλέπον, ἀλλ' ἐπανῆλθεν ἐς τὴν ἑαυτοῦ φύσιν μεῖον οὐδὲν ἢ εἰ φαρμακοποσίᾳ ἐκέχρητο, μεταβαλόν τε τῶν χλανιδίων καὶ ληδίων καὶ τῆς ἄλλης συβαρίδος ἐς ἔρωτα 10
ἦλθεν αὐχμοῦ καὶ τρίβωνος καὶ ἐς τὰ τοῦ Ἀπολλωνίου ἤθη ἀπεδύσατο.

Ἐπιπλῆξαι δὲ λέγεται περὶ Διονυσίων Ἀθηναίοις, ἃ ποιεῖταί σφισιν ἐν ὥρᾳ τοῦ Ἀνθεστηριῶνος· ὁ μὲν γὰρ μονῳδίας ἀκροασόμενος καὶ μελοποιίας παραβάσεών τε καὶ ῥυθμῶν, ὁπόσοι κωμῳδίας τε καὶ τραγῳδίας εἰσίν, ἐς τὸ θέατρον ξυμφοιτᾶν ᾤετο, ἐπεὶ δὲ ἤκουσεν, ὅτι αὐλοῦ ὑποσημήναντος λυγισμοὺς ὀρχοῦνται καὶ μεταξὺ τῆς Ὀρφέως ἐποποιίας τε καὶ θεολογίας τὰ μὲν ὡς Ὧραι, 15 159
τὰ δὲ ὡς Νύμφαι, τὰ δὲ ὡς Βάκχαι πράττουσιν, ἐς ἐπίπληξιν τούτου κατέστη καὶ „παύσασθε“ εἶπεν „ἐξορχούμενοι τοὺς Σαλαμινίους καὶ πολλοὺς ἑτέρους κειμένους ἀγαθοὺς ἄνδρας, εἰ μὲν γὰρ Λακωνικὴ ταῦτα ὄρχησις, εὖγε οἱ στρατιῶται, γυμνάζεσθε γὰρ πολέμῳ καὶ ξυνορχήσομαι, εἰ δὲ ἁπαλὴ καὶ ἐς τὸ θῆλυ σπεύδουσα, τί φῶ περὶ τῶν τροπαίων; οὐ γὰρ κατὰ Μήδων ταῦτα ἢ Περσῶν, καθ' ὑμῶν δὲ ἑστήξει, τῶν ἀναθέντων αὐτὰ εἰ λίποισθε. κροκωτοὶ δὲ ὑμῖν καὶ ἁλουργία καὶ 20
κοκκοβαφία τοιαύτη πόθεν; οὐδὲ γὰρ αἱ Ἀχαρναί γε ὧδε ἐστέλλοντο, οὐδὲ ὁ Κολωνὸς ὧδε ἵππευε. καὶ τί λέγω ταῦτα; γυνὴ ναύαρχος ἐκ Καρίας ἐφ' ὑμᾶς ἔπλευσε μετὰ Ξέρξου, καὶ ἦν αὐτῇ γυναικεῖον οὐδέν, ἀλλ' ἀνδρὸς στολὴ καὶ ὅπλα, ὑμεῖς δὲ ἀβρότεροι τῶν Ξέρξου γυναικῶν ἐφ' ἑαυτοὺς στέλλεσθε οἱ γέροντες οἱ νέοι τὸ ἐφηβικόν, οἳ πάλαι μὲν ὤμυσαν ἐς Ἀγραύλου φοιτῶντες ὑπὲρ 160
τῆς πατρίδος ἀποθανεῖσθαι καὶ ὅπλα στήσεσθαι, νῦν δὲ ἴσως ὁμοῦνται ὑπὲρ τῆς πατρίδος βακχεύσειν καὶ θύρσον λήψεσθαι κόρυν μὲν οὐδεμίαν φέρον, γυναικομίμῳ δὲ μορφώματι, κατὰ τὸν Εὐριπίδην, αἰσχρῶς διαπρέπον. ἀκούω δὲ ὑμᾶς καὶ ἀνέμους γίγνεσθαι καὶ λῆδια ἀνασείειν λέγεσθε ἔπιπλα μετεώρως αὐτὰ κολποῦντες. ἔδει δὲ ἀλλὰ τούτους γε αἰδεῖσθαι, ξυμμάχους ὄντας καὶ πνεύσαντας ὑπὲρ ὑμῶν μέγα, μηδὲ τὸν Βορέαν κηδεστήν γε ὄντα καὶ παρὰ πάντας τοὺς ἀνέμους ἄρσενα ποιεῖσθαι θῆλυν, οὐδὲ γὰρ τῆς Ὠρειθυίας ἐραστὴς ἄν ποτε ὁ Βορέας ἐγένετο, εἰ κἀκείνην 30
ὀρχουμένην εἶδε.“

Διωρθοῦτο δὲ κἀκεῖνο Ἀθήνησιν· οἱ Ἀθηναῖοι ξυνιόντες ἐς θέατρον τὸ ὑπὸ τῇ ἀκροπόλει XXII

αι

1. τε om. 2, a. ib. δεδορκότως. J. ad. lm. 603. Malim δεδοικότων τε καὶ ὀργίλων. 2. καομένων. 1, l. κλαομένων. 2, E. 3. ἀνθρώπων. 1, f, v, l. ἀνθρώπῳ. s, E. 4. κελεύοντός τε. p. 5. καταβαλῶ. p. καταβαλὼν. π, f, m, o. καταβαλῶν. v. καταλαβὼν. s, a. 6. τῶν. s. ib. τούτων. s ante corr. 7. το δὲ μειράκιον — ἀσελγής τε οὐκέτι ἐφαίνετο. μεταβαλὼν δὲ τᾶν χλανιδίων καὶ τῆς ἄλλης Συβαρίδος — ἀπεδύσατο. Φ (333, a, 32). s. ἐπεσπάσατο. π. ἐσπάσατο. p, 2, E, ΦA, B. cett.: ἡσπάσατο. ib. καὶ πάντων. p. ib. στραμμένων. l. ib. ἀσελγὴς. f, v, l, Φ. 9. βλέπων. f, v, l. 10. μεταβαλὼν. l. ib. καὶ. 1. καὶ τῶν. 2, E. ib. λυδίων. s ex corr. et a. ληδίων. l. 12. Διονύσων. v. ib. τοῦ om. l. 13. ἀκροασομένους. v, l. 14. ὑποσημάναντος. p. 15. λογισμοὺς. v. ib. ἐς ὥραι. p. 16. νύμφαι, ὡς βάκχαι. m. ib. πράσσουσιν. s, l. ib. παύσασθαι. π. 17. ἀγαθοὺς ἄνδρας. l, m, o. ἄνδρας. 2, a. ib. εἰ μὲν — ἡ ορχησις, συνορχήσομαι. εἰ δὲ — σπεύδουσα, οὐκέτι. Φ. (333, a, 38). 18. τῷ πολέμῳ. s, a. 20. αὐτὰ. 1. ταῦτα. 2, E. ib. λιποῖσθε. π. ib. ἡμῖν. p. 21. κοκκοβαφία. 1. κροκοβαφία. 2, E. ib. γε. f, l. γ'. E. 23. ἐπ' αὐτούς. C, E. Scr. ἐφ' ἑαυτοὺς. ex Ol. conj. 24. ἐς om. m, o. 25. νῦν δὲ — λήψεσθαι om. v. 26. φέρον. π et p. ante corr. φέρων. 2, a, m. φέρειν. p. ex corr. r, o. ib. γυναικομίμῳ, κατ' Εὐριπίδην φάναι, μορφώματι. Φ (333, b, 2). 27. διαπρέπον. π et p. ante corr. διαπρέπων. 2, a, m. διαπρέπειν. p. ex corr. r, o. ib. λύδια. p, l, s, a, m. 28. ὄντας. 1. γε ὄντας. 2, E. 29. ὑπὲρ ὑμῶν. 1, s. ὑπὲρ ἡμῶν. f, l, v, E. ib. τὸν Βορέα. v. 30. ποιεῖσθε. v. ib. οὐ γὰρ. v. 31. διωθοῦτο. l. ib. ξυνιέντες. f, l. v, ib. ὑπὸ τῇ. 1. ἐπὶ τῇ. 2, E.

IV, 21. 22. p. 158. 159. 160.

προσεῖχον σφαγαῖς ἀνθρώπων καὶ ἐσπουδάζετο ταῦτα ἐκεῖ μᾶλλον ἢ ἐν Κορίνθῳ νῦν, χρημάτων τε μεγάλων ἐωνημένοι ἦγοντο μοιχοὶ καὶ πόρνοι καὶ τοιχωρύχοι καὶ βαλαντιοτόμοι καὶ ἀνδραποδισταὶ καὶ τὰ τοιαῦτα ἔθνη, οἱ δ' ὤπλιζον αὐτοὺς καὶ ἐκέλευον ξυμπίπτειν. ἐλάβετο δὲ καὶ τούτων ὁ Ἀπολλώνιος καὶ καλούντων αὐτὸν ἐς ἐκκλησίαν Ἀθηναίων οὐκ ἂν ἔφη παρελθεῖν ἐς χωρίον ἀκάθαρτον καὶ λύθρου μεστόν. ἔλεγε δὲ ταῦτα ἐν ἐπιστολῇ. καὶ θαυμάζειν ἔλεγεν „ὅπως ἡ θεὸς οὐ
161 καὶ τὴν ἀκρόπολιν ἤδη ἐκλείπει τοιοῦτον αἷμα ὑμῶν ἐκχεόντων αὐτῇ. δοκεῖτε γάρ μοι προιόντες, ἐπειδὰν τὰ Παναθήναια πέμπητε, μηδὲ βοῦς ἔτι, ἀλλ' ἑκατόμβας ἀνθρώπων καταθύσειν τῇ θεῷ. σὺ δέ, Διόνυσε, μετὰ τοιοῦτον αἷμα ἐς τὸ θέατρον φοιτᾷς; κἀκεῖ σοι σπένδουσιν οἱ σοφοὶ Ἀθηναῖοι; μετάστηθι καὶ σύ, Διόνυσε· Κιθαιρὼν καθαρώτερος." τοιάδε εὗρον τὰ σπουδαιότατα τῶν φιλοσοφηθέντων Ἀθήνησιν αὐτῷ τότε.

XXIII Ἐπρέσβευσε δὲ καὶ παρὰ τοὺς Θετταλοὺς ὑπὲρ τοῦ Ἀχιλλέως κατὰ τοὺς ἐν Πυλαίᾳ ξυλλόγους, ἐν οἷς οἱ Θετταλοὶ τὰ Ἀμφικτυονικὰ πράττουσιν, οἱ δὲ δείσαντες ἐψηφίσαντο ἀναλαβεῖν τὰ προσήκοντα τῷ τάφῳ. καὶ τὸ Λεωνίδου σῆμα τοῦ Σπαρτιάτου μονονοὺ περιέβαλεν ἀγασθεὶς τὸν ἄνδρα. ἐπὶ δὲ τὸν κολωνὸν βαδίζων, ἐφ' οὗ λέγονται Λακεδαιμόνιοι περιχωσθῆναι τοῖς τοξεύμασιν, ἤκουσε τῶν ὁμιλητῶν διαφερομένων ἀλλήλοις, ὅ τι εἴη τὸ ὑψηλότατον τῆς Ἑλλάδος, παρεῖχε δὲ ἄρα τὸν λόγον ἡ Οἴτη τὸ ὄρος ἐν ὀφθαλμοῖς οὖσα, καὶ ἀνελθὼν ἐπὶ τὸν λόφον, „ἐγὼ" ἔφη „τὸ ὑψηλότατον τοῦτο ἡγοῦμαι, οἱ γὰρ ἐνταῦθα ὑπὲρ ἐλευθερίας ἀποθανόντες ἀντανήγαγον αὐτὸ τῇ Οἴτῃ καὶ ὑπὲρ πολλοὺς Ὀλύμπους ἦραν. ἐγὼ δὲ ἄγαμαι μὲν καὶ τούσδε τοὺς ἄνδρας, τὸν δὲ Ἀκαρ-
162 νᾶνα Μεγιστίαν καὶ πρὸ τούτων, ἃ γὰρ πεισομένους ἐγίγνωσκε, τούτων ἐπεθύμησε κοινωνῆσαι τοῖς ἀνδράσιν, οὐ τὸ ἀποθανεῖν δείσας, ἀλλὰ τὸ μετὰ τοιῶνδε μὴ τεθνάναι.

XXIV Ἐπεφοίτησε δὲ καὶ τοῖς Ἑλληνικοῖς ἱεροῖς πᾶσι τῷ τε Δωδωναίῳ καὶ τῷ Πυθικῷ καὶ τῷ ἐν Ἀβαῖς, ἐς Ἀμφιάρεώ τε καὶ Τροφωνίου ἐβάδισε καὶ ἐς τὸ Μουσεῖον τὸ ἐν Ἑλικῶνι ἀνέβη. φοιτῶντι δὲ ἐς τὰ ἱερὰ καὶ διορθουμένῳ αὐτὰ ξυνεφοίτων μὲν οἱ ἱερεῖς, ἠκολούθουν δὲ οἱ γνώριμοι, λόγων τε κρατῆρες ἵσταντο καὶ ἠρύοντο αὐτῶν οἱ διψῶντες. ὄντων δὲ καὶ Ὀλυμπίων καὶ καλούντων αὐτὸν Ἠλείων ἐπὶ κοινωνίαν τοῦ ἀγῶνος „δοκεῖτέ μοι" ἔφη „διαβάλλειν τὴν τῶν Ὀλυμπίων δόξαν πρεσβειῶν δεόμενοι πρὸς τοὺς αὐτόθι ἥξοντας." γενόμενος δὲ κατὰ τὸν Ἰσθμὸν μυκησαμένης τῆς περὶ τὸ Λέχαιον θαλάττης „οὗτος" εἶπεν „ὁ αὐχὴν τῆς γῆς τετμήσεται, μᾶλλον δὲ οὔ." εἶχε δὲ αὐτῷ καὶ τοῦτο πρόρρησιν τῆς μικρὸν ὕστερον περὶ τὸν Ἰσθμὸν τομῆς, ἣν μετὰ ἔτη ἑπτὰ Νέρων διενοήθη· τὰ γὰρ βασίλεια ἐκλιπὼν ἐς τὴν Ἑλλάδα ἀφίκετο κηρύγμασιν ὑποθήσων ἑαυτὸν
163 Ὀλυμπικοῖς τε καὶ Πυθικοῖς, ἐνίκα δὲ καὶ Ἰσθμοῖ· αἱ δὲ νῖκαι ἦσαν κιθαρῳδίαι καὶ κήρυκες, ἐνίκα δὲ καὶ τραγῳδοὺς ἐν Ὀλυμπίᾳ. τότε λέγεται καὶ τῆς περὶ τὸν Ἰσθμὸν καινοτομίας ἅψασθαι περίπλουν αὐτὸν ἐργαζόμενος καὶ τὸν Αἰγαῖον τῷ Ἀδρίᾳ ξυμβάλλων, ὡς μὴ πᾶσα ναῦς ὑπὲρ Μα-

1. Σ. v. βαλαντιοτόμος. χρημάτων τε μεγάλων — μοιχοί, πορνοί, τοιχωρυχοί, βαλαντιοτόμοι, ἀνδραποδισταὶ καὶ τὰ τοιαῦτα ἔθνη et v. ἔθνος· ἦγοντο — ἔθνη. om. ἀνδραποδισταὶ. 2. μοιχοὶ καὶ ἀνδραποδισταὶ. f, a, m. ib. βαλλαντιοτόμοι. 1, f, l. 3. ἐλάβετο δὲ. π, v. ἐλάβετο δὴ. p, f, l, s, E. 4. αὐτῶν. l. 6. λείπει. l. ib. ἐκχέοντων. 1 (u). προχεόντων. 2 (f), B, o. προεχόντων. a. προσεχόντων. m. 7. ἐπειδὴ. o. ib. πέμπητε. π, m, o. πέμπηται. p, 2, a.

11. Θεσσαλούς. l, s. 13. Σ. v. περιεβάλοντο· ὁ δὲ Ἀπολλώνιος οὐ μόνον τὸ σῆμα Λ. τοῦ Σπαρτιάτου περιέβαλεν, ἀγασθεὶς τὸν ἄνδρα. ib. μόνον οὐ περιέλαβεν. π. (sic. corr.) 15. ὅτι. a. 17. ἀντανήγαγον. π, s, E. ἀντανῆγον. p, f, v, l. 18. Σ. v. ἄγαμαι. ἐγὼ δὲ — τοῖς ἀνδράσι κοινωνῆσαι. id. v. Ἀκαρνᾶνα usque ad τούτων. ib. μὲν. om Σ. ib. Ἀκαρνᾶνα μέγιστον. Σ. 19. πεπεισμένους. v. 20. τοῖς ἀνδράσιν κοινωνῆσαι. Σ. ib. μετὰ τοιῶνδε μὴ. 1, f, v, l. μὴ μετὰ τοιῶνδε. s, E.

21. καὶ Πυθικῷ. v. 21. λόγων — διψῶντες. Φ (333, b, 3). ib. οἱ om. l. ib. κρατῆρα. p. ib. αὐτῶν. v. 25. κοινωνίᾳ. p. 26. γενόμενος. 1 (u). γενομένου. 2, E. ib. μηκυσαμένης. v. 27. Λέχαιον. f, s et sic infra bis corr. ib. δὲ οὔ. v. 28. αὐτῷ. 1, l. αὐτο f, v, s, E. ib. μικρὸν. C. σμικρὸν. E. 29. διενοήθει. v. 30. Ὀλυμπιακοῖς. l. ib. Πυθιονικοῖς. 1, f, Φ, l. ib. Ἰσθμοῖ. o. 32. ἀνδρίᾳ συμβαλὼν. f, v. ἀδρίᾳ ξυμβαλὼν. l. ib. μαλέα. f, a.

IV, 23. 24. p. 161. 162. 163.

λέαν πλέοι κομίζοιντό τε αἱ πολλαὶ διὰ τοῦ ῥήγματος ξυντέμνουσαι τὰς περιβολὰς τοῦ πλοῦ. πῇ δὲ ἀπέβη τὸ τοῦ Ἀπολλωνίου λόγιον; ἡ ὀρυχὴ τὴν ἀρχὴν ἀπὸ Λεχαίου λαβοῦσα στάδια προὔβη ἴσως τέτταρα ξυνεχῶς ὀρυττόντων, σχεῖν δὲ λέγεται Νέρων τὴν τομὴν οἱ μὲν Αἰγυπτίων φιλοσοφησάντων αὐτῷ τὰς θαλάττας καὶ τὸ ὑπὲρ Λεχαίου πέλαγος ὑπερχυθὲν ἀφανιεῖν εἰπόντων τὴν Αἴγιναν, οἱ δὲ νεώτερα περὶ τῇ ἀρχῇ δείσαντα. τοιοῦτον μὲν δὴ τοῦ Ἀπολλωνίου τὸ τὸν Ἰσθμὸν τετμήσεσθαι καὶ οὐ τετμήσεσθαι.

Ἐν Κορίνθῳ δὲ φιλοσοφῶν ἐτύγχανε τότε Δημήτριος ἀνὴρ ξυνειληφὼς ἅπαν τὸ ἐν Κυνικῇ 164 xxv
κράτος, οὗ Φαβωρῖνος ὕστερον ἐν πολλοῖς τῶν ἑαυτοῦ λόγων οὐκ ἀγεννῶς ἐπεμνήσθη, παθὼν δὲ πρὸς τὸν Ἀπολλώνιον, ὅπερ φασὶ τὸν Ἀντισθένην πρὸς τὴν τοῦ Σωκράτους σοφίαν παθεῖν, εἵπετο αὐτῷ μαθητιῶν καὶ προσκείμενος τοῖς λόγοις καὶ τῶν αὐτῷ γνωρίμων τοὺς εὐδοκιμωτέρους ἐπὶ τὸν Ἀπολλώνιον ἔτρεπεν, ὧν καὶ Μένιππος ἦν ὁ Λύκιος ἔτη μὲν γεγονὼς πέντε καὶ εἴκοσι, γνώμης δὲ ἱκανῶς ἔχων καὶ τὸ σῶμα εὖ κατεσκευασμένος, ἐῴκει γοῦν ἀθλητῇ καλῷ καὶ ἐλευθερίῳ τὸ εἶδος. ἐρᾶσθαι δὲ τὸν Μένιππον οἱ πολλοὶ ᾠοντο ὑπὸ γυναίου ξένου, τὸ δὲ γύναιον καλή τε ἐφαίνετο καὶ ἱκανῶς ἁβρὰ καὶ πλουτεῖν ἔφασκεν, οὐδὲν δὲ τούτων ἄρα ἀτεχνῶς ἦν, ἀλλὰ ἐδόκει πάντα. κατὰ γὰρ τὴν ὁδὸν τὴν ἐπὶ Κεγχρεὰς βαδίζοντι αὐτῷ μόνῳ φάσμα ἐντυχὸν γυνή τε ἐγένετο καὶ χεῖρα ξυνῆψεν ἐρᾶν αὐτοῦ πάλαι φάσκουσα, Φοίνισσα δὲ εἶναι καὶ οἰκεῖν ἐν προαστείῳ τῆς Κορίνθου, τὸ δεῖνα εἰποῦσα προάστειον, „ἐς ὃ ἑσπέρας“ ἔφη „ἀφικομένῳ σοι ᾠδή τε ὑπάρξει ἐμοῦ ἀδούσης καὶ οἶνος, οἷον οὔπω ἔπιες, καὶ οὐδὲ ἀντεραστὴς ἐνοχλήσει σε, βιώσομαι δὲ καλὴ ξὺν καλῷ.“ τούτοις ὑπαχθεὶς ὁ νεανίας, τὴν μὲν γὰρ ἄλλην φιλοσοφίαν ἔρρωτο, τῶν δὲ ἐρωτικῶν ἥττητο, ἐφοίτησε περὶ ἑσπέραν αὐτῇ καὶ τὸν λοιπὸν χρόνον ἐθάμιζεν, ὥσπερ παιδικοῖς, οὔπω ξυνειὸς τοῦ φάσματος. ὁ δὲ Ἀπολλώνιος ἀνδριαντοποιοῦ δίκην ἐς τὸν Μένιππον βλέπων ἐξωγράφει τὸν νεανίαν καὶ ἐθεώρει, καταγνοὺς δὲ αὐτὸν „σὺ μέντοι“ εἶπεν „ὁ καλός τε καὶ ὑπὸ τῶν καλῶν 165
γυναικῶν θηρευόμενος ὅφιν θάλπεις καὶ σὲ ὄφις.“ θαυμάσαντος δὲ τοῦ Μενίππου „ὅτι γυνή σοι“ ἔφη „ἐστὶν οὐ γαμετή. τί δέ; ἦγῃ ὑπ' αὐτῆς ἐρᾶσθαι; „νὴ Δί',“ εἶπεν „ἐπειδὴ διάκειται πρός με ὡς ἐρῶσα.“ „καὶ γήμαις δ' ἂν αὐτήν;“ ἔφη. „χαρίεν γὰρ ἂν εἴη τὸ ἀγαπῶσαν γῆμαι.“ ἤρετο οὖν „πηνίκα οἱ γάμοι;“ „θερμοὶ“ ἔφη „καὶ ἴσως αὔριον.“ ἐπιφυλάξας οὖν τὸν τοῦ συμποσίου καιρὸν ὁ Ἀπολλώνιος καὶ ἐπιστὰς τοῖς δαιτυμόσιν ἄρτι ἥκουσι „ποῦ“ ἔφη „ἡ ἁβρά, δι' ἣν ἥκετε; ἐνταῦθα“ εἶπεν ὁ Μένιππος καὶ ἅμα ὑπανίστατο ἐρυθριῶν. „ὁ δὲ ἄργυρος καὶ ὁ χρυσὸς καὶ τὰ λοιπά, οἷς ὁ ἀνδρὼν κεκόσμηται, ποτέρου ὑμῶν;“ „τῆς γυναικός,“ ἔφη „τἀμὰ γὰρ τοσαῦτα“ δείξας τὸν ἑαυτοῦ τρίβωνα. ὁ δὲ Ἀπολλώνιος „τοὺς Ταντάλου κήπους“ ἔφη „εἴδετε, ὡς ὄντες οὐκ εἰσί;“ „παρ' Ὁμήρῳ γε,“ ἔφασαν „οὐ γὰρ ἐς Ἅιδου γε καταβάντες.“ „τοῦτ'“ ἔφη „καὶ τουτονὶ τὸν κόσμον ἡγεῖσθε, οὐ γὰρ ὕλη ἐστίν, ἀλλὰ ὕλης δόξα. ὡς δὲ γιγνώσκοιτε, ὃ λέγω, ἡ χρηστὴ νύμφη μία τῶν ἐμπουσῶν ἐστιν, ἃς λαμίας τε καὶ μορμολυκίας οἱ πολλοὶ ἡγοῦνται. ἐρῶσι δ' αὗται καὶ ἀφροδισίων μέν, σαρκῶν δὲ μάλιστα ἀνθρωπείων ἐρῶσι καὶ παλεύουσι τοῖς ἀφροδισίοις, οὓς ἂν ἐθέ-

1. διὰ τοῦ. 1. κατα τοῦ. 2, E. ib. ξυντέμνουσαι. π. συντεμοῦσαι. p, 2, φ. ξυντεμοῦσαι. E. ib. πῇ – λόγιον. om φ. 2. ἡ δὲ ὀρυχὴ. φ. 3. συνεχῶς. 2, φ. 4. Λεχαῖον. v. ib. ὑπερχεθὲν. p. 5. τὴν ἀρχὴν. v, φ.

7. συνειληφὼς. p. 8. Φαβορῖνος. v. 10. μαθητειῶν. f. corr. ead. m. ib. τοῦ αὐτοῦ γν. v. Fo: τῶν αὐτοῦ γν. 11. Μένιππος ὁ Λύκιος γνώριμος ἦν Ἀπολλωνίῳ τῷ Τυανεῖ. ἔτη μὲν γεγονὼς κτέ. φ. ib. ὁ om. m, o. 12. ἔοικε. s. ib. οὖν. 2, φ, a, m, 13. οἱ. om. o. 15. Κεγχρείας. π, l, E. Κεγχρίας. p. ib. ἐντυχὼν. p. 17. ἀφικομένῳ σοι. l. ἀφικομένῳ. 2, E. 18. ὃν οὔπω. p. ib. σοι. p. 19. σὺν. 2, φ. 20. πρὸς ἑσπέραν. p. ib. ξυνεὶς. l. ξυνιεὶς. 2, E. 21. φαντάσματος. φ. 22. καταμαθὼν. v. 23. σοι, ἔφη, ἐστὶν. 1, f, s, a, m. σοι, ἔφη. v σοί ἐστιν. o. 24. γαμετή, εἶπε. C, E. Delevi εἶπε. ib. αὐτοῖς. fc, a. 25. ὡς ἐρῶσα. l. ἐρῶσα. 2, E. ib. γῆμαι. p. ib. εἶεν. v. 26. πηνίκα – αὔριον. Φ. (333, b, 4.) ib. ἔφη om. v. ib. ἴσως καὶ. v. ib. τὸν om. φ. 27. ταῖς. π. ib. ἥκουσιν. s. ib. ἥκετε. π. πίνετε. p, 2, E. 28. καὶ χρυσὸς. fc, E. 29. ἀνδρῶν. l. ib. τῆς om. o. ib. ἔφη om. v. 31. τοῦτ'. C. ταῦτ'. fc, E. 32. ἡγεῖσθαι. v. 33. ἐμπουσσῶν. π. ib. μορμολυκίας. C, E. μορμολυκείᾳ. Meinecke ad Men. 145. 34. οὐκ ἀφροδισίων. o. ib. δὲ καὶ μάλιστα. l, s, fc, E. ib. παλεύουσι. Lobeck. ad S. Ajac. 1190. πάλλουσι. C, E.

IV, 25. p. 164. 165.

λωσι δαίσασθαι." ἡ δὲ „εὐφήμει" ἔλεγε „καὶ ἄπαγε." καὶ μυσάττεσθαι ἐδόκει, ἃ ἤκουε, καί που καὶ ἀπέσκωπτε τοὺς φιλοσόφους, ὡς ἀεὶ ληροῦντας. ἐπεὶ μέντοι τὰ ἐκπώματα τὰ χρυσᾶ καὶ ὁ δοκῶν ἄργυρος ἀνεμιαῖα ἠλέγχθη καὶ διέπτη τῶν ὀφθαλμῶν ἅπαντα οἰνοχόοι τε καὶ ὀψοποιοὶ καὶ ἡ
166 τοιαύτη θεραπεία πᾶσα ἠφανίσθησαν ἐλεγχόμενοι ὑπὸ τοῦ Ἀπολλωνίου, δακρύοντι ἐῴκει τὸ φάσμα καὶ ἐδεῖτο μὴ βασανίζειν αὐτό, μηδὲ ἀναγκάζειν ὁμολογεῖν, ὅ τι εἴη, ἐπικειμένου δὲ καὶ μὴ ἀνιέντος ἔμπουσά τε εἶναι ἔφη καὶ πιαίνειν ἡδοναῖς τὸν Μένιππον ἐς βρῶσιν τοῦ σώματος, τὰ γὰρ καλὰ τῶν σωμάτων καὶ νέα σιτεῖσθαι ἐνόμιζεν, ἐπειδὴ ἀκραιφνὲς αὐτοῖς τὸ αἷμα. τοῦτον τὸν λόγον γνωριμώτατον τῶν Ἀπολλωνίου τυγχάνοντα ἐξ ἀνάγκης ἐμήκυνα, γιγνώσκουσι μὲν γὰρ πλείους αὐτόν, ἅτε καθ' Ἑλλάδα μέσην πραχθέντα, ξυλλήβδην δὲ αὐτὸν παρειλήφασιν, ὅτι ἕλοι ποτὲ ἐν Κορίνθῳ λάμιαν, ὅ τι μέντοι πράττουσαν καὶ ὅτι ὑπὲρ Μενίππου, οὔπω γιγνώσκουσιν, ἀλλὰ Δάμιδί τε καὶ ἐκ τῶν ἐκείνου λόγων ἐμοὶ εἴρηται.

XXVI Τότε καὶ πρὸς Βάσσον διηνέχθη τὸν ἐκ τῆς Κορίνθου, πατραλοίας γὰρ οὗτος καὶ ἐδόκει καὶ ἐπεπίστευτο, σοφίαν δὲ ἑαυτοῦ κατεψεύδετο καὶ χαλινὸς οὐκ ἦν ἐπὶ τῇ γλώττῃ. λοιδορούμενον δὲ αὐτὸν ἐπέσχεν ὁ Ἀπολλώνιος οἷς τε ἐπέστειλεν οἷς τε διελέχθη κατ' αὐτοῦ. πᾶν γάρ, ὅπερ ὡς ἐς πατραλοίαν ἔλεγεν, ἀληθὲς ἐδόκει, μὴ γὰρ ἄν ποτε τοιόνδε ἄνδρα ἐς λοιδορίαν ἐκπεσεῖν, μηδ' ἂν εἰπεῖν τὸ μὴ ὄν.

XXVII Τὰ δὲ ἐν Ὀλυμπίᾳ τοῦ ἀνδρὸς τοιαῦτα· ἀνιόντι τῷ Ἀπολλωνίῳ ἐς Ὀλυμπίαν ἐνέτυχον Λακεδαιμονίων πρέσβεις ὑπὲρ ξυνουσίας, Λακωνικὸν δὲ οὐδὲν περὶ αὐτοὺς ἐφαίνετο, ἀλλ' ἁβρότερον αὐτῶν εἶχον καὶ συβάριδος μεστοὶ ἦσαν. ἰδὼν δὲ ἄνδρας λείους τὰ σκέλη λιπαροὺς τὰς κόμας καὶ
167 μηδὲ γενείοις χρωμένους, ἀλλὰ καὶ τὴν ἐσθῆτα μαλακούς, τοιαῦτα πρὸς τοὺς ἐφόρους ἐπέστειλεν, ὡς ἐκείνους κήρυγμα ποιήσασθαι δημοσίᾳ τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας ἐς τὸ ἀρχαῖόν τε καθισταμένους πάντα, ὅθεν παλαῖστραί τε ἀνήβησαν καὶ σπουδαὶ καὶ τὰ φιλίτια ἐπανῆλθε καὶ ἐγένετο ἡ Λακεδαίμων ἑαυτῇ ὁμοία. μαθὼν δὲ αὐτοὺς τὰ οἴκοι διορθουμένους ἔπεμψεν ἐπιστολὴν ἀπ' Ὀλυμπίας βραχυτέραν τῆς Λακωνικῆς σκυτάλης. ἔστι δὲ ἥδε·

„Ἀπολλώνιος ἐφόροις χαίρειν.

Ἀνδρῶν μὲν τὸ μὴ ἁμαρτάνειν, γενναίων δὲ τὸ καὶ ἁμαρτάνοντας αἰσθέσθαι."

XXVIII Ἰδὼν δὲ ἐς τὸ ἔδος τὸ ἐν Ὀλυμπίᾳ „χαῖρε," εἶπεν „ἀγαθὲ Ζεῦ, σὺ γὰρ οὕτω τι ἀγαθός, ὡς
168 καὶ σαυτοῦ κοινωνῆσαι τοῖς ἀνθρώποις". ἐξηγήσατο δὲ καὶ τὸν χαλκοῦν Μίλωνα καὶ τὸν λόγον τοῦ περὶ αὐτὸν σχήματος. ὁ γὰρ Μίλων ἑστάναι μὲν ἐπὶ δίσκου δοκεῖ τῷ πόδε ἄμφω συμβεβληκώς, ῥόαν δὲ ξυνέχει τῇ ἀριστερᾷ, ἡ δεξιὰ δέ, ὀρθοὶ τῆς χειρὸς ἐκείνης οἱ δάκτυλοι καὶ οἷον διείροντες. οἱ μὲν δὴ κατ' Ὀλυμπίαν τε καὶ Ἀρκαδίαν λόγοι τὸν ἀθλητὴν ἱστοροῦσι τοῦτον ἄτρεπτον γενέσθαι καὶ μὴ ἐκβιβασθῆναί ποτε τοῦ χώρου, ἐν ᾧ ἔστη, δηλοῦσθαι δὲ τὸ μὲν ἀπρὶξ τῶν δακτύλων ἐν

1. καί που καὶ. C. (fc.) καὶ που. E 2. ἀπέσκωπτε. C, E. Fo: ἐπέσκωπτε. ib. ληροῦντες. m. 3. ἠλέχθη. l, fc, a. ib. ἅπαντα. 1. πάντα. 2, E. 4. ἐδόκει. v, s, a et m. γρ. ἐδόκει τὸ φάντασμα. ib. φάντασμα. 2 (r, ψ), a. 6. πιαίνειν μὲν. φ. ib. ἄρσιν τοῦ σώματος. p. 7. Fo: νομίζειν. 8. τῶν om. v. ib. Ἀπολλωνίῳ. v. ib. τυγχανόντων. p. ib. πλέους. l. 9. τε αὐτὸν. p. 10. μὲν πράττουσαν. p. ib. Μενίππου. 1. Μενίππου ταῦτα. 2, E.

12. Σ. v. Βάσσος Κορίνθιος· Ἀπολλώνιος πρὸς τοῦτον διηνέχθη – μὴ ὄν. ib. Βάσσ. v. 17. μὲν γὰρ. p, 2, E. γὰρ δὴ. v. ib. καὶ om. Σ. 13. πεπίστευτο. l, s, a. ἐπιστεύετο. v. ib. αὐτοῦ. E, Φ, qui habet σοφίαν – γλώττῃ. (333, b, 5.) ib. λοιδορούμενος. l. 14. ἀπέσχεν. fc, a, m. ἔσχεν. B. ib. ἐπέστελλεν. Σe. ib. διειλέχθη p. (ex corr, pro διηλέχθη) f, l, s, E. διελέγχθη. v. ib. ὡς om. s, a, m. 15. ἐμπεσεῖν. p, v. ἐμπεσεῖν. Σe. ib. ἀνειπεῖν. Σ. 17. ὡς ἐς Ὀλ. p, f, fb, v. 19. αὐτῶν. l, s. αὐτῶν. 1, f, v, fc, E. ib. σαβαρίδος. p. 21. Σ. v. πίττα· τήν τε – ὁμοία. ib. πέτταν. fc, a. 22. τε om. p. ib. παλαίστραι δὲ ἀ. κ. σπουδαὶ. h. ib. σπονδαί. fc, E. 23. φιδίτια. B. 27. ἀνδρῶν μὲν. 1, f, v, fb. ἀνδρῶν. l, s, fc, E. ib. ἁμαρτάνειν. 1. ἁμαρτεῖν. 2, E. ib. τὸ καὶ. 1. καὶ τὸ. 2, E. ib. ἁμαρτάνοντας. π, f, fb, l et p ante corr. ἁμαρτόντας. p, ex corr. s, fc, E. ib. αἰσθέσθαι om. fb. 28. εἶδος. fb, sed corr. ead. m. ἔδος. fc. ib. οὕτω τοι. p. 30. συμβεβληκὼς. 1, m. συμβεβηκὼς. 2, a, o, B. 31. δὲ. om. v. 33. τὸν μὲν. f, fb, v, l et s ante corr.

τῇ ξυνοχῇ τῆς ῥόας, τὸ δὲ μηδ' ἂν σχισθῆναί ποτ' ἀπ' ἀλλήλων αὐτούς, εἴ τις πρὸς ἕνα αὐτῶν ἁμιλλῷτο, τῷ τὰς διαφυὰς ἐν ὀρθοῖς τοῖς δακτύλοις εὖ ξυνηρμόσθαι, τὴν ταινίαν δέ, ἣν ἀναδεῖται, σωφροσύνης ἡγεῖται ξύμβολον. ὁ δὲ Ἀπολλώνιος σοφῶς μὲν εἶπεν ἐπινενοῆσθαι ταῦτα, σοφώτερα δὲ εἶναι τὰ ἀληθέστερα. „ὡς δὲ γιγνώσκοιτε τὸν νοῦν τοῦ Μίλωνος, Κροτωνιᾶται τὸν ἀθλητὴν τοῦτον ἱερέα ἐστήσαντο τῆς Ἥρας. τὴν μὲν δὴ μίτραν ὅ τι χρὴ νοεῖν, τί ἂν ἐξηγοίμην ἔτι, μνημονεύσας ἱερέως ἀνδρός; ἡ ῥόα δὲ μόνη φυτῶν τῇ Ἥρᾳ φύεται, ὁ δὲ ὑπὸ τοῖς ποσὶ δίσκος, ἐπὶ ἀσπιδίου βεβηκὼς ὁ ἱερεὺς τῇ Ἥρᾳ εὔχεται, τουτὶ δὲ καὶ ἡ δεξιὰ σημαίνει. τὸ δὲ ἔργον τῶν δακτύλων καὶ τὸ μήπω διεστὼς τῇ ἀρχαίᾳ ἀγαλματοποιίᾳ προσκείσθω.“ 169

XXIX

Παρατυγχάνων δὲ τοῖς δρωμένοις ἀπεδέχετο τῶν Ἠλείων, ὡς ἐπεμελοῦντο τε αὐτῶν καὶ ξὺν κόσμῳ ἔδρων μεῖόν τε οὐδὲν ἢ οἱ ἀγωνιούμενοι τῶν ἀθλητῶν κρίνεσθαι ᾤοντο καὶ μήθ' ἑκόντες τι μήτ' ἄκοντες ἁμαρτάνειν προὐνοοῦντο. ἐρομένων δ' αὐτὸν τῶν ἑταίρων, τίνας τοὺς Ἠλείους περὶ τὴν διάθεσιν τῶν Ὀλυμπίων ἡγοῖτο, „εἰ μὲν σοφοὺς,“ ἔφη „οὐκ οἶδα, σοφιστὰς μέντοι.“

XXX

Ὡς δὲ καὶ διεβέβλητο πρὸς τοὺς οἰομένους ξυγγράφειν καὶ ἀμαθεῖς ἡγεῖτο τοὺς ἅπτομένους λόγου μείζονος, ὑπάρχει μαθεῖν ἐκ τῶνδε· μειράκιον γὰρ δοκησίσοφον ἐντυχὸν αὐτῷ περὶ τὸ ἱερὸν „συμπροθυμήθητί μοι“ ἔφη „αὔριον, ἀναγνώσομαι γάρ τι“. τοῦ δὲ Ἀπολλωνίου ἐρομένου, ὅ τι ἀναγνώσοιτο, „λόγος“ εἶπε „ξυντέτακταί μοι ἐς τὸν Δία.“ καὶ ἅμα ὑπὸ τῷ ἱματίῳ ἐπεδείκνυ αὐτὸν σεμνυνόμενος τῇ παχύτητι τοῦ βιβλίου. „τί οὖν“ ἔφη „ἐπαινέσῃ τοῦ Διός; ἢ τὸν Δία τὸν ἐνταῦθα καὶ τὸ μηδὲν εἶναι τῶν ἐν τῇ γῇ ὅμοιον;“ „καὶ τοῦτο μέν,“ ἔφη „πολλὰ δὲ πρὸ τούτου καὶ ἐπὶ τούτῳ ἕτερα, καὶ γὰρ αἱ ὧραι καὶ τὰ ἐν τῇ γῇ καὶ τὰ ὑπὲρ τὴν γῆν καὶ ἀνέμους εἶναι καὶ ἄστρα Διὸς πάντα.“ ὁ δὲ Ἀπολλώνιος „δοκεῖς μοι“ εἶπεν „ἐγκωμιαστικός τις εἶναι σφόδρα“. „διὰ τοῦτο“ ἔφη „καὶ ποδάγρας ἐγκώμιόν τί μοι ξυντέτακται καὶ τοῦ τυφλόν τινα ἢ κωφὸν εἶναι.“ „ἀλλὰ μηδὲ τοὺς ὑδέρους“ εἶπε „μηδὲ τοὺς κατάρρους ἀποκήρυττε τῆς ἑαυτοῦ σοφίας, εἰ βούλοιο ἐπαινεῖν τὰ τοιαῦτα, βελτίων δὲ ἔσῃ καὶ τοῖς ἀποθνήσκουσιν ἑπόμενος καὶ διὰ ἐπαίνους τῶν νοσημάτων, ὑφ' ὧν ἀπέθανον, ἧττον γὰρ ἐπ' αὐτοῖς ἀνιάσονται πατέρες τε καὶ παῖδες καὶ οἱ ἀγχοῦ τῶν ἀποθανόντων.“ κεχαλινωμένον δὲ ἰδὼν τὸ μειράκιον ὑπὸ τοῦ λόγου „ὁ ἐγκωμιάζων“, εἶπεν „ᾧ ξυγγραφεῦ, πότερον ἃ οἶδεν ἐπαινέσεται ἄμεινον ἢ ἃ οὐκ οἶδεν;“ „ἃ οἶδεν,“ ἔφη „πῶς γὰρ ἄν τις ἐπαινοῖ, ἃ οὐκ οἶδε;“ „τὸν πατέρα οὖν ἤδη ποτὲ τὸν σαυτοῦ ἐπῄνεσας;“ „ἐβουλήθην,“ εἶπεν „ἀλλ' ἐπεὶ μέγας τε μοι δοκεῖ καὶ γενναῖος ἀνθρώπων τε ὧν οἶδα κάλλιστος οἰκόν τε ἱκανὸς οἰκῆσαι καὶ σοφίᾳ ἐς πάντα χρῆσθαι, παρῆκα τὸν ἐς αὐτὸν ἔπαινον, ὡς μὴ αἰσχύνοιμι τὸν πατέρα λόγῳ ἧττονι.“ δυσχεράνας οὖν ὁ Ἀπολλώνιος, τουτὶ δὲ πρὸς τοὺς φορτικοὺς τῶν ἀνθρώπων ἔπασχεν „εἶτα“, ἔφη „ὦ κάθαρμα, τὸν μὲν πατέρα τὸν σεαυτοῦ, ὃν ἴσα καὶ σεαυτὸν γιγνώσκεις, οὐκ ἂν οἶει πότ' ἂν ἱκανῶς ἐπαινέσαι, τὸν δ' ἀνθρώπων καὶ θεῶν πατέρα καὶ δημιουργὸν τῶν ὅλων, ὅσα περὶ ἡμᾶς καὶ ὑπὲρ ἡμᾶς ἐστιν, εὐκόλως οὕτως ἐγκωμιάζων οὔθ', ὃν ἐπαινεῖς, δέδιας, οὔτε ξυνίης ἐς λόγον καθιστάμενος μείζονα ἀνθρώπου;“ 170

1. τὸν δὲ. f, fb, v, l et s ante corr. ib. δὲ μηδ'. C, a. μηδ'. m, o. ib. αὐτὸν ex corr. rec. s. αὐτῷ. l. 2. τὸ τὰς. v. 3. ἡγεῖσθαι. p. ib. σύμβολον. fc. ib. ἐπινοεῖσθαι. p. 4. ὡς δὴ. l. ib. γιγνώσκητε. v. 5. τὴν δὲ δήμητρα. p. ib. ἐξηγοίμην; ἔτι — ἀνδρὸς. o. 6. φυτῶν. π, f, fb, l, v. φυτὸν. p, fc, s, E. ib. φαίνεται. p. ib. ὑπὸ τοῖς. 1, fb, H. ἐπὶ τοῖς. s, l, fc, E. ὑπὸ ποσί. v. 7. βεβληκὼς. fb. 8. καὶ τὸ μήπω. π. καὶ μήπω. p, 2, a, m. μήπω. o. ib. κεῖσθω. p. 9. τοῖς ἱδρυμένοις. p. ib. τε αὐτῶν. π. τῶν αὐτῶν. p, f, v, E. τῶν αὐτῶν. l, s. 10. οἱ om. s, a, m. 11. προυνοοῦντο. o. ib. τοὺς om. l. s, a. 12. παρὰ. p. ib. ἡγεῖτο. v, E.

13. καὶ om. p. ib. διεβέβλητο. v. ib. ἡγοῖτο. s, E. 16. ὑπὸ τῷ ἱματίῳ. π et m. γρ. ὑπὸ τοῦ ἱμ. p, 2, E. ib. ὑπεδείκνυ. v. 18. τοῦτο μὲν. 1 et m. γρ. τοῦτό γε. 2, E. 20. ἰδὼν δὲ ὁ Ἀπ. v. ib. τις om. 2, a. τε. fc. 21. μοι om. 2, a. ib. τε ξυντέτακται. a. 22. τῆς ἑαυτοῦ. 1, f, v, l. τῆς σεαυτοῦ. s, E. 23. βελτίω. v. 24. αὐτοῖς. τε

1. αὐτοὺς. 2, E. 25. δὲ. f. al. m. ib. ὁ om. v. 26. ἃ οἶδεν om. m. 27. ἐπαινεῖ. v. 28. Fo: ἐδόκει. ib. τε om. 2, a, m. ib. καὶ κάλλιστος. 2, a, m. ib. ἱκανῶς. π. 29. ἐς τὰ πάντα. p. ib. αἰσχύνοιμι. 1. αἰσχύναιμι. 2, E. 31. σεαυτοῦ. 1. σαυτοῦ. 2, E. ib. καὶ σεαυτοῦ. v. ib. οὐκ ἂν. C, E. Fo: οὐκ ἄρ'. 32. οἴῃ. C. (εἴῃ. l.) οἴῃ. a. οἴει. m, o. 33. οὐδὲ. p. 34. ξυνίης. C. ξυνίεις. l, E.

XXXI Αἱ δὲ ἐν Ὀλυμπίᾳ διαλέξεις τῷ Ἀπολλωνίῳ περὶ τῶν χρησιμωτάτων ἐγίγνοντο, περὶ σοφίας τε καὶ ἀνδρίας καὶ σωφροσύνης καὶ καθάπαξ, ὁπόσαι ἀρεταί εἰσι, περὶ τούτων ἀπὸ τῆς κρηπῖδος
171 τοῦ νεὼ διελέγετο πάντας ἐκπλήττων οὐ ταῖς διανοίαις μόνον, ἀλλὰ καὶ ταῖς ἰδέαις τοῦ λόγου. περιστάντες δὲ αὐτὸν οἱ Λακεδαιμόνιοι ξένον τε παρὰ τῷ Διὶ ἐποιοῦντο καὶ τῶν οἴκοι νέων πατέρα βίου τε νομοθέτην καὶ γερόντων γέρας. ἐρομένου δὲ Κορινθίου τινὸς κατὰ ἀχθηδόνα, εἰ καὶ θεοφάνια αὐτῷ ἄξουσι, „νὴ τὼ Σιώ," ἔφη, „ἕτοιμά γε". ὁ δὲ Ἀπολλώνιος ἀπήγαγεν αὐτοὺς τῶν τοιούτων, ὡς μὴ φθονοῖτο. ἐπεὶ δὲ ὑπερβὰς τὸ Ταύγετον εἶδεν ἐνεργὸν Λακεδαίμονα καὶ τὰ τοῦ Λυκούργου πάτρια εὖ πράττοντα, οὐκ ἀηδὲς ἐνόμισε τὸ καὶ τοῖς τέλεσι τῶν Λακεδαιμονίων ξυγγενέσθαι περὶ ὧν ἐρωτᾶν ἐβούλοντο. ἤροντο οὖν ἀφικόμενον, πῶς θεοὶ θεραπευτέοι, ὁ δὲ εἶπεν „ὡς δεσπόται". πάλιν ἤροντο, πῶς ἥρωες· „ὡς πατέρες." τρίτον δὲ ἐρομένων, πῶς δὲ ἄνθρωποι „οὐ Λακωνικὸν" ἔφη „τὸ ἐρώτημα". ἤροντο καὶ ὅ τι ἡγοῖτο τοὺς παρ' αὐτοῖς νόμους, ὁ δὲ εἶπεν „ἀρίστους διδασκάλους, οἱ διδάσκαλοι δὲ εὐδοκιμήσουσιν, ἢν οἱ μαθηταὶ μὴ ῥᾳθυμῶσιν." ἐρομένων δ' αὐτῶν, τί περὶ ἀνδρίας ξυμβουλεύοι, „καὶ τί" ἔφη „τῇ ἀνδρίᾳ χρήσεσθε;"

XXXII 172 Ἐτύγχανε δὲ περὶ τὸν χρόνον τοῦτον νεανίας Λακεδαιμόνιος αἰτίαν ἔχων παρ' αὐτοῖς, ὡς ἀδικῶν περὶ τὰ ἤθη· Καλλικρατίδα μὲν γὰρ τοῦ περὶ Ἀργινούσσας ναυαρχήσαντος ἦν ἔκγονος, ναυκληρίας δὲ ἦρα καὶ οὐ προσεῖχε τοῖς κοινοῖς, ἀλλ' ἐς Καρχηδόνα ἐξέπλει καὶ Σικελίαν ναῦς πεποιημένος. ἀκούσας οὖν κρίνεσθαι αὐτὸν ἐπὶ τούτῳ δεινὸν ᾠήθη περιδεῖν τὸν νεανίαν ὑπαχθέντα ἐς δίκην καὶ „ὦ λῷστε", ἔφη „τί πεφροντικὼς περίεις καὶ μεστὸς ἐννοίας"; „ἀγὼν" εἶπεν „ἐπήγγελταί μοι δημόσιος, ἐπειδὴ πρὸς ναυκληρίαις εἰμὶ καὶ τὰ κοινὰ οὐ πράττω." πατὴρ δέ σοι ναύκληρος ἐγένετο ἢ πάππος;" „ἄπαγε", εἶπε „γυμνασίαρχοι τε καὶ ἔφοροι καὶ πατρονόμοι πάντες, Καλλικρατίδας δὲ ὁ πρόγονος καὶ τῶν ναυαρχησάντων ἐγένετο." „μῶν„ ἔφη „τὸν ἐν Ἀργινούσσαις λέγεις"; „ἐκεῖνον" εἶπε „τὸν ἐν τῇ ναυαρχίᾳ ἀποθανόντα". „εἶτ' οὐ διέβαλέ σοι" εἶπε „τὴν θάλατταν ἡ τελευτὴ τοῦ προγόνου"; „μὰ Δί'," εἶπεν „οὐ γὰρ ναυμαχήσων γε πλέω." „ἀλλ' ἐμπόρων τε καὶ ναυκλήρων κακοδαιμονέστερόν τι ἐρεῖς ἔθνος; πρῶτον μὲν περινοστοῦσι, ζητοῦσι ἀγορὰν κακῶς πράττουσαν, εἶτα προξένοις καὶ καπήλοις ἀναμιχθέντες πωλοῦσί τε καὶ πωλοῦνται καὶ τόκοις ἀνοσίοις τὰς αὐτῶν κεφαλὰς ὑποτιθέντες ἐς τὸ ἀρχαῖον σπεύδουσι, κἂν μὲν εὖ πράττωσιν, εὐπλοεῖ ἡ ναῦς καὶ πολὺν ποιοῦνται λόγον τοῦ μήτε ἑκόντες ἀνατρέψαι μήτε ἄκοντες, εἰ δὲ ἡ ἐμπορία πρὸς τὰ χρέα μὴ ἀναφέροιτο, μεταβάντες ἐς τὰ ἐφόλκια προσαράττουσι τὰς ναῦς καὶ
173 τῶν ἑτέρων [ναῦται] βίον θεοῦ ἀνάγκην εἰπόντες ἀθεώτατα καὶ οὐδὲ ἄκοντες αὐτοὶ ἀφείλοντο. εἰ δὲ καὶ μή τοιοῦτον ἦν τὸ θαλαττουργόν τε καὶ ναυτικὸν ἔθνος, ἀλλὰ τό γε Σπαρτιάτην ὄντα καὶ πατέρων γεγονότα, οἳ μέσην ποτὲ τὴν Σπάρτην ᾤκησαν, ἐν κοίλῃ νηὶ κεῖσθαι λήθην μὲν ἴσχοντα Λυκούργου τε καὶ Ἰφίτου, φόρτου δὲ μνήμονα καὶ ναυτικῆς ἀκριβολογίας, τίνος αἰσχύνης ἄπεστιν; εἰ γὰρ καὶ μηδὲν ἄλλο, τὴν γοῦν Σπάρτην αὐτὴν ἔδει ἐνθυμεῖσθαι, ὡς, ὁπότε μὲν τῆς γῆς εἴχετο,

ι

1. αἴδε. E. 2. τε γὰρ καὶ. o. ib. ἀνδρείας. corr. ead m. f. ib. καθάπερ. v. 4. περιστάντες δὲ αὐτὸν. 1. περιστάντες οὖν. 2, E. ib. νέον. s, a, m. 5. εἰ καὶ. π, m, o. ἦ καὶ. p, s, a. ἢ καὶ. f, v, l. 6. αὐτῷ. 1. ἐπ' αὐτῷ. 2, E. ib. ἐξιοῦσι. p. ib. ἔφησαν. o. ib. ἕτυμά γε. π et m γρ. ib. ἀπήγαγεν. 1, f, v. ἀπῆγεν. l, s, E. 7. μὴ om. l. ib. ὑπὲρ τὸ. π. ib. Τηύγετον. p. ib. νεουργὸν. v. 9. τρίτον μὲν. l. 13. καί τί; o. ib. χρήσεσθαι. v, o. χρήσεσθε revocat H. 88.

15. Ἀργινούσσας. π. Ἀργινούσσας. l, E. ib. ἦν om. m. 16. Καλχηδόνα. s a. rec. m. 18. ὦ λόγε. p. ib. παρίης. 1. παρίεις. f. ead. m. περίεις. l. παρίεις. E. περίεις. J. ib. καὶ οὐ μεστὸς. f, v, l. 19. πατὴρ. 1. καὶ πατὴρ. 2, E. 20. τε καὶ. π. γὰρ καὶ. p, 2, E. 21. Καλλιστρατίδας. f, v. ib. Ἀργινούσσαις ut 15. 25. εἶτ' οὐ. 1, f et s ex corr. εἶτ' οὖν. l, v, s ante corr. a. ib. ὅ τ' οὐ. ψ, o. 23. εὐπόρων. v. 24. τε καὶ π. τι καὶ. p. γε καὶ. 2, E. ib. μὲν om. v. ib. ζητοῦσι. π. ζητοῦντες. p, 2, E. 22. κακῶς om. p. 26. αὐτῶν. l, s. αὑτῶν. E. 28. μὴ ἀναφέροιτο. 1. οὐκ ἀ. 2, E. 29. τῶν ἑτέρων. 1. τὸν ἑτέρων. 2, E. ib. ναῦται dele aut scribe οὗτοι. J ad Im. 625. velit ναυαγοί. ib. εἰ δὲ μὴ. p, 30. θαλάττουργόν τε. o. 31. ἴσχοντα. 1, l, s, v. ἴσχον τὰ. f. ἔσχον τὰ. fc, a, m. ἔσχοντα. o.

IV, 31. 32. p. 171. 172. 173.

οὐρανομήκη δόξασαν, ἐπεὶ δὲ θαλάττης ἐπεθύμησε, βυθισθεῖσάν τε καὶ ἀφανισθεῖσαν οὐκ ἐν τῇ θαλάττῃ μόνον, ἀλλὰ καὶ ἐν τῇ γῇ." τούτοις τὸν νεανίαν οὕτω διεχειρώσατο τοῖς λόγοις, ὡς νεύσαντα αὐτὸν ἐς τὴν γῆν κλαίειν, ἐπεὶ τοσοῦτον ἤκουσεν ἀπολελεῖφθαι τῶν πατέρων, ἀποδόσθαι τε τὰς ναῦς, ἐν αἷς ἔζη. καθεστῶτα δὲ αὐτὸν ἰδὼν ὁ Ἀπολλώνιος καὶ τὴν γῆν ἀσπαζόμενον κατήγαγε παρὰ τοὺς ἐφόρους καὶ παρῃτήσατο τῆς δίκης.

Κἀκεῖνο τῶν ἐν Λακεδαίμονι· ἐπιστολὴ ἐκ βασιλέως Λακεδαιμονίοις ἦκεν ἐπίπληξιν ἐς τό κοι- XXXIII
νὸν αὐτῶν φέρουσα, ὡς ὑπὲρ τὴν ἐλευθερίαν ὑβριζόντων, ἐκ διαβολῶν δὲ τοῦ τῆς Ἑλλάδος ἄρχοντος ἐπέσταλτο αὐτοῖς ταῦτα. οἱ μὲν δὴ Λακεδαιμόνιοι ἀπορίᾳ εἶχοντο καὶ ἡ Σπάρτη πρὸς ἑαυτὴν ἤριζεν, εἴτε χρὴ παραιτουμένους τὴν ὀργὴν τοῦ βασιλέως εἴτε ὑπερφρονοῦντας ἐπιστέλλειν· πρὸς ταῦτα ξύμβουλον ἐποιοῦντο τὸν Ἀπολλώνιον τοῦ τῆς ἐπιστολῆς ἤθους, ὁ δέ, ὡς εἶδε διεστηκότας, παρῆλθέ τε ἐς τὸ κοινὸν αὐτῶν καὶ ὧδε ἐβραχυλόγησε· „Παλαμήδης εὗρε γράμματα οὐχ ὑπὲρ τοῦ γράφειν μόνον, ἀλλὰ καὶ ὑπὲρ τοῦ γιγνώσκειν, ἃ δεῖ μὴ γράφειν." οὕτω μὲν δὴ Λακεδαιμονίους 174
ἀπῆγε τοῦ μήτε θρασεῖς μήτε δειλοὺς ὀφθῆναι.

Διατρίψας δ' ἐν τῇ Σπάρτῃ μετὰ τὴν Ὀλυμπίαν χρόνον, ὡς ἐτελεύτα ὁ χειμών, ἐπὶ Μαλέαν XXXIV
ἦλθεν ἀρχομένου ἦρος, ὡς ἐς τὴν Ῥώμην ἀφήσων. διανοουμένῳ δ' αὐτῷ ταῦτα ἐγένετο ὄναρ τοιόνδε· ἐδόκει γυναῖκα μεγίστην τε καὶ πρεσβυτάτην περιβάλλειν αὐτὸν καὶ δεῖσθαί οἱ ξυγγενέσθαι, πρὶν ἐς Ἰταλοὺς πλεῦσαι, Διὸς δὲ εἶναι ἡ τροφὸς ἔλεγε καὶ ἣν αὐτῇ στέφανος πάντ' ἔχων τὰ ἐκ γῆς καὶ θαλάττης. λογισμὸν δὲ αὐτῷ διδοὺς τῆς ὄψεως ξυνῆκεν, ὅτι πλευστέα εἴη ἐς Κρήτην πρότερον, ἣν τροφὸν ἡγούμεθα τοῦ Διός, ἐπειδὴ ἐν ταύτῃ ἐμαιεύθη, ὁ δὲ στέφανος καὶ ἄλλην ἴσως δηλώσει νῆσον. οὐσῶν δὲ ἐν Μαλέᾳ νηῶν πλειόνων, αἳ ἐς Κρήτην ἀφήσειν ἔμελλον, ἐνέβη ναῦν ἀποχρῶσαν τῷ κοινῷ· κοινὸν δὲ ἐκάλει τούς τε ἑταίρους καὶ τοὺς τῶν ἑταίρων δούλους, οὐδὲ γὰρ ἐκείνους παρεώρα. προσπλεύσας δὲ Κυδωνίᾳ καὶ παραπλεύσας ἐς Κνωσσὸν τὸν μὲν Λαβύρινθον, ὃς ἐκεῖ δείκνυται, ξυνεῖχε δέ, οἶμαι, ποτε τὸν Μινώταυρον, βουλομένων ἰδεῖν τῶν ἑταίρων, ἐκείνοις μὲν ξυνεχώρει τοῦτο, αὐτὸς δὲ οὐκ ἂν ἔφη θεατὴς γενέσθαι τῆς ἀδικίας τοῦ Μίνω. προῆει δὲ ἐπὶ Γόρτυναν πόθῳ τῆς Ἴδης. ἀνελθὼν οὖν καὶ τοῖς θεολογουμένοις ἐντυχὼν ἐπορεύθη καὶ ἐς τὸ ἱερὸν τὸ Λεβηναῖον· ἔστι δὲ Ἀσκληπιοῦ καὶ ὥσπερ ἡ Ἀσία ἐς τὸ Πέργαμον, οὕτως ἐς τὸ ἱερὸν τοῦτο ξυνεφοίτα ἡ Κρήτη, πολλοὶ δὲ καὶ Λιβύων ἐς αὐτὸ περαιοῦνται· καὶ γὰρ τέτραπται πρὸς 175
τὸ Λιβυκὸν πέλαγος κατὰ γοῦν τὴν Φαιστόν, ἔνθα τὴν πολλὴν ἀνείργει θάλατταν ὁ μικρὸς λίθος. Λεβηναῖον δὲ τὸ ἱερὸν ὠνομάσθαί φασιν, ἐπειδὴ ἀκρωτήριον ἐξ αὐτοῦ κατατείνει λέοντι εἰκασμένον, οἷα πολλὰ αἱ ξυντυχίαι τῶν πετρῶν ἀποφαίνουσι, μῦθόν τε ἐπὶ τῷ ἀκρωτηρίῳ ᾄδουσιν, ὡς λέων εἷς οὗτος γένοιτο τῶν ὑποζυγίων ποτὲ τῇ Ῥέᾳ. ἐνταῦθα διαλεγομένου ποτὲ τοῦ Ἀπολλωνίου περὶ μεσημβρίαν, διελέγετο δὲ πολλοῖς ἀνδράσιν, ὑφ' ὧν τὸ ἱερὸν ἐθεραπεύετο, σεισμὸς ἀθρόως τῇ Κρήτῃ προσέβαλε, βροντὴ δὲ οὐκ ἐκ νεφῶν, ἀλλ' ἐκ τῆς γῆς ὑπήχησεν, ἡ θάλαττα δὲ ὑπενύστησε στάδια ἴσως ἑπτά. καὶ οἱ μὲν πολλοὶ ἔδεισαν, μὴ τὸ πέλαγος ὑποχωρῆσαν ἐπισπάσηται τὸ ἱερὸν καὶ ἀπενεχθῶσιν, ὁ δὲ Ἀπολλώνιος „θαρσεῖτε", ἔφη „ἡ γὰρ θάλαττα γῆν ἔτεκε". καὶ οἱ μὲν

1. ἐπὶ δὲ. o. ib. ἐπεθύμησε om. o. 2. τῶν νεανίαν. l. 3. ἤκουσεν ἀπολελεῖφθαι. π, l, m, o. ἀπολελεῖφθαι. p, f, v, s, a. 4. ὑπείκοντα δὲ. p. ib. ἐξέβαλε τῆς. p.

6. ἐπιστολὴν. v. ib. ἦκεν. l. ἦλθεν. 2, E. 7. αὐτῷ φέρουσα. a, non fc. 8. ἐπέσταλτο. 1, m, o. ἔσταλτο. 2, a.

10. ἐποιοῦντο τὸν. p. ἐποιοῦντό π. ἐποίουντό τε. l. ἐποίουν τότε. f, v, s, E. ib. εἶδε. 1. εἶδέ τε. 2, E. 11. παρῆλθε τε. 1. παρῆλθεν. 2, E. 12. οὕτως. 2. ib. Λακεδαιμονίοις ἐπῆγε. l. 13. τοῦ om. π.

15. διανοουμένου δ' αὐτῶ. l. 16. ξυνεγγενέσθαι. l. ξυγγίνεσθαι. o. 17. αὐτῷ. l, a, m. 18. πλευστέα εἴη. 1, v. πλευστέα εἶην. f. πλευστέα. l, s, E. 19. καλὴν ἴσως. J. ad Athen. p. 77. 21. δούλους. 1. o et m. γρ. ἄλλους δούλους. 2, a, m. 22. παρεώρα. π. περιεώρα. p, 2, E. ib. προσπλεύσας. p, l, s, a, m. παραπλεύσας. π, f, v, o. ib. παραπλεύσας. p, l, s, a, m. προσπλεύσας. π, f, v, o. 23. ὃς ἐδόκει. f, v, l. 25. καὶ ἐς. 1, f, v, l. ἐς. s, fc, E. 28. γ' οὖν. f. ib. τὴν om. f, v. 32. ἐπὶ μεσημβρίαν. v. ib. ἀθρόος. p. 33. προσέβαλλεν. v. ib. νεφῶν. 1, l. νεφελῶν. 2, E.

IV, 33. 34. p. 174. 175.

ᾠοντο αὐτὸν τὴν ὁμόνοιαν τῶν στοιχείων λέγειν, καὶ ὅτι μηδὲν ἂν ἡ θάλαττα νεώτερον ἐς τὴν γῆν ἐργάσαιτο, μετὰ δὲ ἡμέρας ὀλίγας ἀφικόμενοί τινες ἐκ τῆς Κυδωνιάτιδος ἤγγειλαν, ὅτι κατὰ τὴν ἡμέραν τε καὶ μεσημβρίαν, ἣν ἐγένετο ἡ διοσημία, νῆσος ἐκ τῆς θαλάττης ἀνεδόθη περὶ τὸν πορθμὸν τὸν διαρρέοντα Θήραν τε καὶ Κρήτην. ἐάσαντες οὖν λόγων μῆκος ἔλθωμεν καὶ ἐπὶ τὰς ἐν Ῥώμῃ σπουδάς, αἳ ἐγένοντο αὐτῷ μετὰ τὰ ἐν Κρήτῃ.

XXXV Νέρων οὐ ξυνεχώρει φιλοσοφεῖν, ἀλλὰ περίεργον αὐτῷ χρῆμα οἱ φιλοσοφοῦντες ἐφαίνοντο
176 καὶ μαντικὴν συσκιάζοντες, καὶ ἤχθη ποτὲ ὁ τρίβων ἐς δικαστήριον, ὡς μαντικῆς σχῆμα. ἐῶ τοὺς ἄλλους. ἀλλὰ Μουσώνιος ὁ Βαβυλώνιος, ἀνὴρ Ἀπολλωνίου μόνου δεύτερος ἐδέθη ἐπὶ σοφίᾳ καὶ ἐκεῖ μένων ἐκινδύνευσεν, ἀπέθανε δ' ἂν τὸ ἐπὶ τῷ δήσαντι, εἰ μὴ σφόδρα ἔρρωτο. ἐν τοιαύτῃ
XXXVI καταστάσει φιλοσοφίας οὔσης ἔτυχε προσιὼν τῇ Ῥώμῃ, στάδια δὲ εἴκοσι καὶ ἑκατὸν ἀπέχων ἐνέτυχε Φιλολάῳ τῷ Κιττιεῖ περὶ τὸ νέμος τὸ ἐν τῇ Ἀρικείᾳ. ἦν δὲ ὁ Φιλόλαος τὴν μὲν γλῶτταν ξυγκείμενος, μαλακώτερος δὲ καρτερῆσαί τι. οὗτος ἀναλύων ἀπὸ τῆς Ῥώμης αὐτός τε ἐᾠκει φεύγοντι καὶ ὅτῳ ἐντύχοι φιλοσοφοῦντι παρεκελεύετο τὸ αὐτὸ πράττειν. προσειπὼν οὖν τὸν Ἀπολλώνιον ἐκέλευεν ἐκστῆναι τῷ καιρῷ, μηδὲ ἐπιφοιτᾶν τῇ Ῥώμῃ διαβεβλημένου τοῦ φιλοσοφεῖν, καὶ διηγεῖτο τὰ ἐκεῖ πραττόμενα θαμὰ ἐπιστρεφόμενος, μὴ ἐπακροᾠτό τις αὐτοῦ κατόπιν. „σὺ δὲ καὶ χρὸν φιλοσόφων ἀναψάμενος“ εἶπε „βαδίζεις φθόνου μεστὸς οὐκ εἰδὼς τοὺς ἐπιτεταγμένους ταῖς πύλαις ὑπὸ Νέρωνος, οἳ ξυλλήψονταί σέ τε καὶ τούτους, πρὶν ἔσω γενέσθαι.“ „τί δ'“ εἶπεν „ὦ
177 Φιλόλαε, τὸν αὐτοκράτορα σπουδάζειν φασίν;“ „ἡνιοχεῖ“ ἔφη „δημοσίᾳ καὶ ᾄδει παριὼν ἐς τὰ Ῥωμαίων θέατρα καὶ μετὰ τῶν μονομαχούντων ξῇ, μονομαχεῖ δὲ καὶ αὐτὸς καὶ ἀποσφάττει.“ ὑπολαβὼν οὖν ὁ Ἀπολλώνιος „εἶτα“, ἔφη „ὦ βέλτιστε, μεῖζόν τι ἡγῇ θέαμα ἀνδράσι πεπαιδευμένοις ἢ βασιλέα ἰδεῖν ἀσχημονοῦντα; θεοῦ μὲν γὰρ παίγνιον ἄνθρωπος“ εἶπε „κατὰ τὴν Πλάτωνος δόξαν, βασιλεὺς δὲ ἀνθρώπου παίγνιον γιγνόμενος καὶ χαριζόμενος τοῖς ὄχλοις τὴν ἑαυτοῦ αἰσχύνην τίνας οὐκ ἂν παράσχοι λόγους τοῖς φιλοσοφοῦσι;“ „νὴ Δί'“, εἶπεν ὁ Φιλόλαος „εἴγε μετὰ τοῦ ἀκινδύνου γίγνοιτο, εἰ δὲ ἀπόλοιο ἀναχθεὶς καὶ Νέρων σε ὠμὸν φάγοι μηδὲν ἰδόντα ὧν πράττει, ἐπὶ πολλῷ ἔσται σοι τὸ ἐντυχεῖν αὐτῷ καὶ ἐπὶ πλείονι ἢ τῷ Ὀδυσσεῖ ἐγένετο, ὁπότε παρὰ τὸν Κύκλωπα ἦλθεν, ἀπώλεσε γὰρ πολλοὺς τῶν ἑταίρων ποθήσας ἰδεῖν αὐτὸν καὶ ἡττηθεὶς ἀτόπου καὶ ὠμοῦ θεάματος.“ ὁ δὲ Ἀπολλώνιος „οἶει γὰρ“ ἔφη „τοῦτον ἧττον ἐκτετυφλῶσθαι τοῦ Κύκλωπος, εἰ τοιαῦτα ἐργάζεται;“ καὶ ὁ Φιλόλαος „πραττέτω μέν“, εἶπεν „ὅ τι βούλεται, σὺ δὲ ἀλλὰ τούτους
XXXVII σῶζε.“ φωνῇ δὲ ταῦτα μείζονι ἔλεγε καὶ ἐᾠκει κλάοντι. ἐνταῦθα δείσας ὁ Δάμις περὶ τοῖς νέοις,
178 μὴ χείρους αὐτῶν γένοιντο ὑπὸ τῆς τοῦ Φιλολάου πτοίας, ἀπολαβὼν τὸν Ἀπολλώνιον „ἀπολεῖ“ ἔφη „τοὺς νέους ὁ λαγὼς οὗτος τρόμων καὶ ἀθυμίας ἀναπιμπλὰς πάντα“. ὁ δὲ Ἀπολλώνιος „καὶ μὴν πολλῶν“ ἔφη „ἀγαθῶν ὄντων, ἃ μηδ' εὐξαμένῳ μοι πολλάκις παρὰ τῶν θεῶν γέγονε, μέγιστον ἂν ἔγωγε φαίην ἀπολελαυκέναι τὸ νυνὶ τοῦτο, παραπέπτωκε γὰρ βάσανος τῶν νέων, ἣ σφόδρα ἐλέγξει τοὺς φιλοσοφοῦντάς τε αὐτῶν καὶ τοὺς ἕτερόν τι μᾶλλον ἢ τοῦτο πράττοντας.“ καὶ
178 ἠλέγχθησαν αὐτίκα οἱ μὴ ἐρρωμένοι σφῶν, ὑπὸ γὰρ τῶν τοῦ Φιλολάου λόγων ἀπαχθέντες οἱ μὲν

2. ἐργάσηται p ib. ἤγγειλεν, π. 3. διοσημεία. f, v, l. ib. ἐν τῇ θαλάσσῃ. v. 4. ἔλθωμεν ἐπὶ. 2, a. 5. τὰ ἐν Κρ. C. τὴν ἐν Κρ. fc, E.

8. ὡς Βαβ. o. ib. μόνου. 1, J. μὲν. 2, E. 9. μένων. π. μὲν ὢν. p, 2, E. ib. τῷ ἐπὶ τῷ. l. 12. ἦν δὲ — καρτερῆσαί τι. Φ. (333, b, 6). 13. παρεκέλευέ τε. v. 14. ἐκέλευεν om. fc, a, m. 17. ξυλλήψοντες. v. ib. τί δὲ. f, s, l. τίδ'. a. 18. φασὶν om. a, m, ubi mg. γρ. σπουδ. φασὶν. 20. ὦ om. 2, a, m. 22. γενόμενος. π. γινόμενος. f, s, l. γιγνόμενος. a. 23. τίνας om. v. ib. εἴ γε. π et p ante corr. εἶγε μὴ. p ex corr. 2, E. 24. μετὰ τοῦ ἀκινδύνου. π. μετὰ τοῦ κινδύνου. p, f, v, s, E. μετὰ κινδύνου. l. ib. εἰδότα. v. 25. πλεῖον. π, v, l. πλεῖων. f. 26. ε ἀπώλεσα. f. corr. al. m. ib. δεινοῦ. l. 28. μὲν om. π. ib. εἶπε. o. 30. αὐτῶν. π. αὐτῷ. l. αὐτῶν. E. ib. τῆς Φιλολάου. 2, a. ib. ὑπολαβὼν. f, v, l. 31. ὁ λόγος. m, (ubi γρ. ὁ λαγὼς). o. ib. ἀναπιμπλῶν. s, a. 33. σφόδρα. 1, o. σφόδρα τε. 2, a, m. 34. τοῦ. l. ib. φιλοσοφοῦντάς τε. 1, f, v. φιλοσοφοῦντάς τι. s, a, m. φιλοσοφοῦντας. o. 35. ἠλέχθησαν. l. ib. τοῦ om. l.

IV, 35. 36. 37. p. 176. 177. 178.

ἔφασαν νοσεῖν, οἱ δ' οὐκ εἶναι αὐτοῖς ἐφόδια, οἱ δὲ τῶν οἴκοι ἐρᾶν, οἱ δὲ ὑπὸ ὀνειράτων ἐκπε-
πλῆχθαι, καὶ περιῆλθεν ἐς ὀκτὼ ὁμιλητὰς ὁ Ἀπολλώνιος ἐκ τεττάρων καὶ τριάκοντα, οἳ ξυνεφοίτων
αὐτῷ ἐς τὴν Ῥώμην. οἱ δ' ἄλλοι Νέρωνά τε καὶ φιλοσοφίαν ἀποδράντες φυγῇ ᾤχοντο. ξυναγαγὼν XXXVIII
οὖν τοὺς περιλειφθέντας, ὧν καὶ Μένιππος ἦν ὁ ξυναλλάξας τῇ ἐμπούσῃ καὶ Διοσκορίδης ὁ Αἰγύ-
πτιος καὶ Δάμις „οὐ λοιδορήσομαι" ἔφη „τοῖς ἀπολελοιπόσιν ἡμᾶς, ἀλλ' ὑμᾶς ἐπαινέσομαι μᾶλλον, 5
ὅτι ἄνδρες ἐστὲ ἐμοὶ ὅμοιοι, οὐδ', εἴ τις Νέρωνα δείσας ἀπῆλθε, δειλὸν ἡγήσομαι τοῦτον, ἀλλ' εἴ
τις τοῦ δέους τούτου κρείττων γίγνεται, φιλόσοφος ὑπ' ἐμοῦ προσειρήσεται, καὶ διδάξομαι αὐτόν,
ὁπόσα οἶδα. δοκεῖ δή μοι πρῶτον μὲν εὔξασθαι τοῖς θεοῖς, δι' οὓς ταῦτα ἐπὶ νοῦν ἦλθεν ὑμῖν τε
κἀκείνοις, ἔπειθ' ἡγεμόνας αὐτοὺς ποιεῖσθαι, θεῶν γὰρ χωρὶς οὐδ' ἐν ἄλλῳ ἐσμέν. παριτητέα ἐς
πόλιν, ἢ τοσούτων τῆς οἰκουμένης μερῶν ἄρχει· πῶς οὖν ἂν παρέλθοι τις, εἰ μὴ ἐκεῖνοι ἡγοῖντο; 10
καὶ ταῦτα τυραννίδος ἐν αὐτῇ καθεστηκυίας οὕτω χαλεπῆς, ὡς μὴ ἐξεῖναι σοφοῖς εἶναι. ἀνόητόν
τε μηδενὶ δοκείτω τὸ θαρσεῖν ὁδόν, ἣν πολλοὶ τῶν φιλοσόφων φεύγουσιν, ἐγὼ γὰρ πρῶτον μὲν
οὐδὲν ἂν ἡγοῦμαι φοβερὸν οὕτω γενέσθαι τῶν κατ' ἀνθρώπους, ὡς ἐκπλαγῆναί ποτε ὑπ' αὐτοῦ
τὸν σοφόν, εἶτ' οὐδ' ἂν προσθείην ἀνδρὶ τὰς μελέτας, ἐὰν μὴ μετὰ κινδύνων γίγνοιντο. καὶ ἄλ-
λως ἐπελθὼν γῆν, ὅσην οὔπω τις ἀνθρώπων, θηρία μὲν Ἀράβιά τε καὶ Ἰνδικὰ πάμπολλα εἶδον, 15
τὸ δὲ θηρίον τοῦτο, ὃ καλοῦσιν οἱ πολλοὶ τύραννον, οὔτε ὁπόσαι κεφαλαὶ αὐτῷ, οἶδα, οὔτε εἰ γαμ-
ψώνυχόν τε καὶ καρχαρόδουν ἐστί. καίτοι πολιτικὸν μὲν εἶναι τὸ θηρίον τοῦτο λέγεται καὶ τὰ μέσα
τῶν πόλεων οἰκεῖν, τοσούτῳ δὲ ἀγριώτερον διάκειται τῶν ὀρεινῶν τε καὶ ὑλαίων, ὅσῳ λέοντες μὲν
καὶ παρδάλεις ἐνίοτε κολακευόμενοι ἡμεροῦνται καὶ μεταβάλλουσι τοῦ ἤθους, τοῦτο δὲ ὑπὸ τῶν κα- 179
ταψηχόντων ἐπαιρόμενον ἀγριώτερον αὐτοῦ γίγνεται καὶ λαφύσσει πάντα. περὶ μέν γε θηρίων οὐκ 20
ἂν εἴποις, ὅτι τὰς μητέρας ποτὲ τὰς αὐτῶν ἐδαίσαντο, Νέρων δὲ ἐμπεφόρηται τῆς βορᾶς ταύτης.
εἰ δὲ καὶ ταῦτα γέγονεν ἐπ' Ὀρέστῃ καὶ Ἀλκμαίωνι, ἀλλ' ἐκείνοις σχῆμα τοῦ ἔργου πατέρες ἦσαν
ὁ μὲν ἀποθανὼν ὑπὸ τῆς ἑαυτοῦ γυναικός, ὁ δὲ ὅρμου πραθείς, οὗτοσὶ δὲ καὶ ἐσποιηθεὶς ὑπὸ τῆς
μητρὸς γέροντι βασιλεῖ καὶ κληρονομήσας τὸ ἄρχειν ναναγίῳ τὴν μητέρα ἀπέκτεινε πλοῖον ἐπ' αὐτῇ
ξυνθείς, ὑφ' οὗ ἀπώλετο πρὸς τῇ γῇ. εἰ δὲ ἐκ τούτων φοβερόν τις ἡγεῖται Νέρωνα καὶ διὰ τοῦτο 25
ἀποπηδᾷ φιλοσοφίας οὐκ ἀσφαλὲς αὐτῷ νομίζων τὸ ἀπὸ θυμοῦ τι αὐτῷ πράττειν, ἴστω τὸ μὲν
φοβερὸν ἐκείνοις ὑπάρχον, ὅσοι περ ἂν σωφροσύνης τε καὶ σοφίας ἅπτωνται, τούτοις γὰρ καὶ τὰ
παρὰ τῶν θεῶν εὖ ἔχει, τὰ δὲ τῶν ὑβριζόντων ὕθλον ἡγείσθω, καθὰ καὶ τὰ τῶν μεμεθυσμένων,
καὶ γὰρ δὴ κἀκείνους γε ἠλιθίους μὲν ἡγούμεθα, φοβεροὺς δὲ οὔ. ἴωμεν οὖν ἐς τὴν Ῥώμην, εἴγε
ἐρρώμεθα, πρὸς γὰρ τὰ Νέρωνος κηρύγματα, δι' ὧν ἐξείργει φιλοσοφίαν, ἔστιν ἡμῖν τὸ τοῦ Σο- 30
φοκλέους

οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,

οὐδὲ Μοῦσαι καὶ Ἀπόλλων λόγιος. εἰκὸς δὲ καὶ αὐτὸν Νέρωνα γιγνώσκειν τὰ ἰαμβεῖα ταῦτα, τρα-
γῳδίᾳ, ὥς φασι, χαίροντα." ἐνταῦθά τις τὸ Ὁμήρου ἐνθυμηθείς, ὡς, ἐπειδὰν ὁ λόγος ἁρμόσῃ

1. ὧν M. 2, a. ib. Διοσκουρίδης. p. 5. οὐ λοιδορήσομαι om. fc, a. 8. ἡμῖν. v. 9. ὧν γὰρ. C, E. θεῶν γὰρ. J ep. cr. 41. ib. οὐδ' ἐν ἄλλῳ. π. οὐδὲν ἄλλο. p. 2, E. 11. μὴ δὲ εἶναι. a et m. γρ. ib. ἀνόητόν γε. f, l. 12. μηδενὶ. C. μηδὲν. fc, E. 13. οὕτως. f. 14. προσθείην. 1. προσθείη. 2, E. ib. γίγνοιντο. 1, v. γίγνοιτο. f, l, s, E. 15. μὲν. π, m, o. μὲν γὰρ. p, 2, a et m. γρ. 17. μὲν om. v. ib. εἶναι om. 2, E. (m. γρ. μὲν εἶναι.) ib. τοῦτο λέγεται. 1. λέγεται. 2, E. 18. τοσοῦτον. π. 19. παρδάλεις. 2. ib. καταψηχόντων. 1, l. (p. in mg. γρ. καταψώντων) καταψηκόντων. f. καταψυχόντων. v, s, a, m. καταψώντων. o. 20. φυλάσσει. p. ib. περὶ μὲν – ἄρχειν. Φ. (333, B. 8.) ib. γὰρ θηρίων. ΦA,B. τε θηρίων. v, l. 21. ποτὲ τὰς om. Φ. ib. ταύτης ἐπ' Ὀρ. Φ. mediis omissis. 23. οὗτος. Φ. ib. καὶ om. π, v. 24. ἀπέκτεινε. 1, o. ἀπέκτονε. 2, a, m. 26. αὐτὸ. p. αὐτῶν. a, m. αὐτῷ. o. 27. ἐκείνοις ὑπάρχον. π et m. γρ. ἐκείνοις οὐχ ὑπάρχον. p, 2, E. ib. ἅπτωνται. π, s, l. ἅπτονται. p, f, v, E. 28. ἔχοι. p. ib. καθὰ καὶ τὰ. π. καθάπερ τὰ. p, 2, E. ib. μεθυσμένων. v. 29. κἀκείνους γε. 1, o. κἀκείνους. 2. a, m. 30. ἐξείργοι. E. ib. Σοφοκλέους ἐλεγεῖον. C. (fc.) Σοφ. ἰαμβεῖον. E, quod delevi. 32. τὰ δὲ. m, o. 33. τραγῳδίαις. p. 34. τὸ Ὁμήρου. p, s, a: τοῦ Ὁμ. π, f, v, l, m. τὸ τοῦ Ὁμ. o.

πολεμικοὺς ἄνδρας, μία μὲν κόρυς γίγνονται, μία δὲ ἀσπίς, εὑρεῖν ἄν μοι δοκεῖ αὐτὸ τοῦτο καὶ περὶ τούσδε τοὺς ἄνδρας γενόμενον· ὑπὸ γὰρ τῶν τοῦ Ἀπολλωνίου λόγων ξυγκροτηθέντες ἀποθνήσκειν τε ὑπὲρ φιλοσοφίας ἔρρωντο καὶ βελτίους τῶν ἀποδράντων φαίνεσθαι.

XXXIX Προσῆσαν μὲν οὖν ταῖς πύλαις, οἱ δὲ ἑφεστᾶτες οὐδὲν ἠρώτων, ἀλλὰ περιήθρουν τὸ σχῆμα
180 καὶ ἐθαύμαζον· ὁ γὰρ τρόπος ἱερὸς ἐδόκει καὶ οὐδὲν ἐοικὼς τοῖς ἀγείρουσι, καταλύουσι δ' αὐτοῖς ἐν πανδοχείῳ περὶ τὰς πύλας καὶ δεῖπνον αἱρουμένοις, ἐπειδὴ καιρὸς ἑσπέρας ἤδη ἐτύγχανεν, ἐπὶ κῶμον ἔρχεται μεθύων ἄνθρωπος οὐκ ἀγλευκῶς τῆς φωνῆς ἔχων, περιᾄει δὲ ἄρα κύκλῳ τὴν Ῥώμην ᾄδων τὰ τοῦ Νέρωνος μέλη καὶ μεμισθωμένος τοῦτο, τὸν δὲ ἀμελῶς ἀκούσαντα ἢ μὴ καταβαλόντα μισθὸν τῆς ἀκροάσεως ξυνεκεχώρητο αὐτῷ καὶ ἀπάγειν ὡς ἀσεβοῦντα. ἦν δὲ αὐτῷ καὶ κιθάρα καὶ ἡ πρόσφορος τῷ κιθαρίζειν σκευὴ πᾶσα, καί τινα καὶ νευρὰν τῶν ἐφαψαμένων τε καὶ προεντεταμένων ἀποκειμένην ἐν κοιτίδι εἶχεν, ἣν ἔφασκεν ἐκ τῆς Νέρωνος ἐωνῆσθαι κιθάρας δυοῖν μναῖν καὶ ἀποδώσεσθαι αὐτὴν οὐδενί, ἢν μὴ κιθαρῳδὸς ᾖ τῶν ἀρίστων τε καὶ ἀγωνιουμένων Πυθοῖ. ἀναβαλόμενος οὖν, ὅπως εἰώθει, καὶ βραχὺν διεξελθὼν ὕμνον τοῦ Νέρωνος ἐπῆγε μέλη τὰ μὲν ἐξ Ὀρεστείας, τὰ δὲ ἐξ Ἀντιγόνης, τὰ δ' ὁπόθεν γοῦν τῶν τραγῳδουμένων αὐτῷ, καὶ ᾠδὰς ἔκαμπτεν, ὁπόσας Νέρων ἐλύγιζέ τε καὶ κακῶς ἔστρεφεν. ἀργότερον δὲ ἀκροωμένων ὁ μὲν ἀσεβεῖσθαι Νέρωνα ὑπ' αὐτῶν ἔφασκε καὶ πολεμίους τῆς θείας φωνῆς εἶναι, οἱ δὲ οὐ προσεῖχον. ἐρομένου δὲ τοῦ Μενίππου τὸν Ἀπολλώνιον, πῶς ἀκούοι λέγοντος ταῦτα, „πῶς“ ἔφη „ἢ ὡς ὅτε ἤδεν; ἡμεῖς μέντοι, ὦ Μένιππε, μὴ παροξυνώμεθα πρὸς ταῦτα, ἀλλὰ τὸν μισθὸν τῆς ἐπιδείξεως δόντες ἐάσωμεν αὐτὸν θύειν ταῖς Νέρωνος Μούσαις.“

XL Τοῦτο μὲν δὴ ἐπὶ τοσοῦτον ἐπαρῳνήθη. ἅμα δὲ τῇ ἡμέρᾳ Τελεσῖνος ὁ ἕτερος τῶν ὑπάτων καλέσας τὸν Ἀπολλώνιον „τί“ ἔφη „τὸ σχῆμα“; ὁ δὲ „καθαρὸν“ εἶπε „καὶ ἀπ' οὐδενὸς θνητοῦ“.
181 „τίς δὲ ἡ σοφία;“ „θειασμὸς“ ἔφη „καὶ ὡς ἄν τις θεοῖς εὔχοιτο καὶ θύοι“. „ἔστι δέ τις, ὦ φιλόσοφε, ὃς ἀγνοεῖ ταῦτα;“ „πολλοί,“ εἶπεν „εἰ δὲ καὶ ὀρθῶς τις ἐπίσταται ταῦτα, πολλῷ γένοιτ' ἂν αὐτοῦ βελτίων ἀκούσας σοφωτέρου ἀνδρός, ὅτι, ἃ οἶδεν, εὖ οἶδεν.“ ταῦτα ἀκούοντα τὸν Τελεσῖνον, καὶ γὰρ ἐτύγχανεν ὑποθεραπεύων τὸ θεῖον, ἐσῆλθεν ὁ ἀνὴρ δι' ἃ πάλαι περὶ αὐτοῦ ἤκουε καὶ τὸ μὲν ὄνομα οὐκ ᾤετο δεῖν ἐς τὸ φανερὸν ἐρωτᾶν, μή τιν' ἔτι λανθάνειν βούλοιτο, ἐπανῆγε δὲ αὐτὸν πάλιν ἐς τὸν λόγον τὸν περὶ τοῦ θείου, καὶ γὰρ πρὸς διάλεξιν ἐπιτηδείως εἶχε, καὶ ὡς σοφῷ γε εἶπε „τί εὔχῃ προσιὼν τοῖς βωμοῖς“; „ἔγωγε“ ἔφη „δικαιοσύνην εἶναι νόμους μὴ καταλύεσθαι πένεσθαι τοὺς σοφούς, τοὺς δὲ ἄλλους πλουτεῖν μέν, ἀδόλως δέ.“ „εἶτα“ εἶπε „τοσαῦτα αἰτῶν οἴει τεύξεσθαι“; „νὴ Δί',“ εἶπε „ξυνείρω γὰρ τὰ πάντα ἐς εὐχὴν μίαν καὶ προσιὼν τοῖς βωμοῖς ὧδε εὔχομαι· ὦ θεοί, δοίητέ μοι τὰ ὀφειλόμενα· εἰ μὲν δὴ τῶν χρηστῶν εἰμι ἀνθρώπων, τεύξομαι πλειόνων ἢ εἶπον, εἰ δὲ ἐν τοῖς φαύλοις με οἱ θεοὶ τάττουσι, τἀναντία μοι παρ' αὐτῶν

1. δοκῇ. p. 2 γενόμενον 1. γιγνόμενον. 2, E. 3. ὑπὸ φιλ. π, v.
4. προσῆκαν. v. ib. μὲν om. m, o. ib. οὐδὲ. l. 5. Σ. v. ἀγείρειν· ὁ γὰρ τρόπος ἱερὸς ἦν – ἀγείρουσι. 6. ἐπὶ πανδ. π, m. γρ. ἐν πανδοχείῳ. p, 2, E. ib. ἐπειδὲ. v. ib. ἐπὶ κῶμον – ἔχων. Φ. (333, b, 14.) 7. οὐκ ἀγλευκῶς 1, v, et f, l, s. sed mg. f: γρ. οὐκ ἀγροικῶς, mg. s: οὐκ ἀγροικικῶς, unde οὐκ ἀγροικικῶς E. γρ. ἀγλυκῶς. ἰσ. ἀγροίκως. m. mg. οὐκ ἀγλύκω. ΦΑ. cett.: οὐκ ἀγλύκως. 9. συγκεχώρητο. p. συνεκεχώρητο. 2. ξυνεκεχώρητο. π, l, a, m. ξυνκεχώρηται. o. 11. προεντεταγμένων. 2, a et m. γρ. ib. ἀποκειμένην om. 1. ib. κυντίδι. π. et m. γρ. κυτίδι. p. ib. ἐωνεῖσθαι. f, v, l. 12. ἀποδόσεσθαι. v. 13. Σ. v. ἀναβάλλομαι· ἀναβαλόμενος – εἰώθει βραχὺν διεξῆλθεν ὕμνον. idem Ζων. (v. ἀναβαλόμενος.) ἀναβαλλόμενος. C, E. ib. βραχὺ. l. 14. Ὀρεστίας. p, 2. ib. γοῦν τῶν om. m. ib. Σ. v. κάμπτω· ᾠδὰς ἔκαμπτεν, ὁπόσας ὁ N. – καὶ ἔστρεφεν. id. v. λυγίζειν: ὁ δὲ ἔκαμπτεν ᾠδὰς ὁπ. – ἔστρεφεν. ead. var. 15. ἔτρεφεν. v. 17. ἀκούει. v. ib. ὥς γε ἤδεν. s, a, m.
20. ἐπὶ om. m, o. 21. ἐπ'. v. ib. εἶπε. v. 24. αὐτοῦ. l, s, a. ib. ἀκούοντα. 1. ἀκούσαντα. 2, E. 25. ἤκουε. 1. ἤκουσε. 2, E. 26. τι . s a sec. m. τι. π. ib. ἐπανήγαγε. p. 29. ἀδήλως. v. 30. νὴ Δία – εἰμι ἀνθρώπων om. l. 32. ἢ om. v.

ἥξει καὶ οὐ μέμψομαι τοὺς θεούς, εἰ κακῶν ἀξιοῦμαι μὴ χρηστὸς ὤν.“ ἐξεπέπληκτο μὲν δὴ ὁ Τελεσῖνος ὑπὸ τῶν λόγων τούτων, βουλόμενος δὲ αὐτῷ χαρίζεσθαι „φοίτα“ ἔφη „ἐς τὰ ἱερὰ πάντα, καὶ γεγράφεται παρ' ἐμοῦ πρὸς τοὺς ἱερωμένους δέχεσθαί σε καὶ διορθουμένῳ εἶκειν.“ „ἢν δὲ μὴ γράψῃς,“ ἔφη „οὐ δέξονταί με;“ „μὰ Δί',“ εἶπεν „ἐμὴ γὰρ“ ἔφη „αὕτη ἀρχή“. „χαίρω,“ ἔφη „ὅτι γενναῖος ὢν μεγάλου ἄρχεις, βουλοίμην δ' ἄν σε κἀκεῖνο περὶ ἐμοῦ εἰδέναι· ἐγὼ τῶν ἱερῶν τὰ μὴ βεβαίως κλειστὰ χαίρω οἰκῶν καὶ παραιτεῖταί με οὐδεὶς τῶν θεῶν, ἀλλὰ ποιοῦνται κοινωνὸν στέγης· ἀνείσθω δέ μοι καὶ τοῦτο, καὶ γὰρ οἱ βάρβαροι ξυνεχώρουν αὐτό.“ καὶ ὁ Τελεσῖνος „μέγα“ ἔφη „Ῥωμαίων ἐγκώμιον οἱ βάρβαροι προὔλαβον, τουτὶ γὰρ ἐβουλόμην ἂν καὶ περὶ ἡμῶν λέγεσθαι.“ ᾤκει μὲν δὴ ἐν τοῖς ἱεροῖς ἐναλλάττων αὐτὰ καὶ μεθιστάμενος ἐξ ἄλλου ἐς ἄλλο, αἰτίαν δὲ ἐπὶ τούτῳ ἔχων „οὐδὲ οἱ θεοὶ“ ἔφη „πάντα τὸν χρόνον ἐν τῷ οὐρανῷ οἰκοῦσιν, ἀλλὰ πορεύονται μὲν ἐς Αἰθιοπίαν, πορεύονται δὲ ἐς Ὄλυμπόν τε καὶ Ἄθω, καὶ οἶμαι ἄτοπον τοὺς μὲν θεοὺς τὰ τῶν ἀνθρώπων ἔθνη περινοστεῖν πάντα, τοὺς δὲ ἀνθρώπους μὴ τοῖς θεοῖς ἐπιφοιτᾶν πᾶσι. καίτοι δεσπόται μὲν ὑπερορῶντες δούλων οὔπω αἰτίαν ἔξουσιν, ἴσως γὰρ ἂν καταφρονοῖεν αὐτῶν, ὡς μὴ σπουδαίων, δοῦλοι δὲ μὴ πάντως τοὺς αὑτῶν δεσπότας θεραπεύοντες ἀπόλοιντο ἂν ὑπ' αὐτῶν ὡς κατάρατοί τε καὶ θεοῖς ἐχθρὰ ἀνδράποδα. 182

Διαλεγομένου δὲ αὐτοῦ περὶ τὰ ἱερὰ οἱ θεοὶ ἐθεραπεύοντο μᾶλλον καὶ ξυνήεσαν οἱ ἄνθρωποι ἐς ταῦτα, ὡς τὰ ἀγαθὰ πλείω παρὰ τῶν θεῶν ἕξοντες, καὶ οὕπω διεβάλλοντο αἱ ξυνουσίαι τοῦ ἀνδρὸς διὰ τὸ σπουδάζεσθαί τε δημοσίᾳ λέγεσθαί τε ἐς πάντας, οὐδὲ γὰρ θύραις ἐπεπόλαζεν, οὐδὲ ἐτρίβετο περὶ τοὺς δυνατούς, ἀλλ' ἡσπάζετο μὲν ἐπιφοιτῶντας, διελέγετο δὲ αὐτοῖς ὁπόσα καὶ τῷ δήμῳ. ἐπεὶ δὲ ὁ Δημήτριος διατεθεὶς πρὸς αὐτόν, ὡς ἐν τοῖς Κορινθιακοῖς λόγοις εἴρηκα, παραγενόμενος ἐς τὴν Ῥώμην ὕστερον ἐθεράπευε μὲν τὸν Ἀπολλώνιον, ἐπηφίει δ' αὐτὸν τῷ Νέρωνι, τέχνῃ ταῦτα ὑπωπτεύθη τοῦ ἀνδρὸς καὶ τὸν Δημήτριον αὐτὸς ἐδόκει καθεικέναι ἐς αὐτά, καὶ πολὺ μᾶλλον, ὁπότε γυμνάσιον μὲν ἐξεποιήθη τῷ Νέρωνι θαυμασιώτατον τῶν ἐκεῖ, λευκὴν δ' ἔθυον ἐν αὐτῷ ἡμέραν Νέρων τε αὐτὸς καὶ ἡ βουλὴ ἡ μεγάλη καὶ τὸ ἱππεῦον τῆς Ῥώμης, παρελθὼν δὲ ὁ Δημήτριος ἐς αὐτὸ τὸ γυμνάσιον διεξῆλθε λόγον κατὰ τῶν λουομένων, ὡς ἐκλελυμένων τε καὶ αὐτοὺς χραινόντων, καὶ ἐδείκνυεν, ὅτι περιττὸν ἀνάλωμα εἴη τὰ τοιαῦτα, ἐφ' οἷς ξυνήρατο μὲν αὐτῷ μὴ ἀποθανεῖν αὐτίκα τὸ τὸν Νέρωνα εὐφωνότατα ἑαυτοῦ κατὰ τὴν ἡμέραν ἐκείνην ᾄδειν — ἦδε δὲ ἐν καπηλείῳ πεποιημένῳ ἐς τὸ γυμνάσιον διάζωμα ἔχων γυμνός, ὥσπερ τῶν καπήλων οἱ ἀσελγέστατοι — οὐ μὴν διέφυγεν ὁ Δημήτριος τὸ ἐφ' οἷς εἶπε κινδυνεῦσαι, Τιγελλῖνος γάρ, ὑφ' ᾧ τὸ ξίφος ἦν τοῦ Νέρωνος, ἀπήλαυνεν αὐτὸν τῆς Ῥώμης, ὡς τὸ βαλανεῖον κατασκάψαντα οἷς εἶπε, τὸν δ' Ἀπολλώνιον ἀφανῶς ἀνίχνευεν, ὁπότε καὶ αὐτὸς ἐπιλήψιμόν τι καὶ παραβεβλημένον εἴποι. ὁ δ' οὔτε καταγελῶν φανερὸς ἦν οὔτ' αὖ πεφροντικώς, ὥσπερ οἱ φυλαττόμενοί τινα κίνδυνον, ἀλλ' ἀποχρώντως περὶ τῶν προκειμένων διελέγετο ξυμφιλοσοφοῦντος αὐτῷ τοῦ Τελεσίνου καὶ ἑτέρων ἀνδρῶν, οἳ καίτοι φιλοσοφίας ἐπικινδύνως πραττούσης οὐκ ἂν ᾤοντο κινδυνεῦσαι ξὺν ἐκείνῳ σπουδάζοντες. ὑπωπτεύετο δέ, ὡς ἔφην, καὶ πολὺ μᾶλλον ἐφ' οἷς καὶ περὶ τῆς διοσημίας εἶπε· γενομένης γάρ ποτε ἐκλείψεως ἡλίου καὶ βροντῆς ἐκδοθείσης, ὅπερ ἥκιστα ἐν ἐκλείψει δοκεῖ ξυμβαίνειν, ἀναβλέψας ἐς τὸν οὐρανὸν „ἔσται τι“ ἔφη „μέγα καὶ οὐκ ἔσται.“ ξυμβαλεῖν μὲν δὴ τὸ 183 XLI XLII XLIII

1. καὶ κακῶν. o. ib. κατῶν. p. ib. ἤδη ὁ. p. 4. εἶπε. E. ib. χαίρων. a, m. 5. μεγάλων. v. 6. μὲν. a. ib. ποιοῦντες. v. 7. μοι κἀνταῦθα. J ad Vers. germ. 9. ἐῴκει. v. 10. ἔφη om. v. ib. τὸν χρόνον om. a. 18. οὐ γὰρ. s, a. 19. περὶ τὸ φῶς καὶ περὶ τοὺς δυνατούς. 2, E. 20. ὡς. s a sec. m. 21. ἐν τῇ Ῥώμῃ. v. ib. αὐτὸν. π, l, E. 22. καθηκέναι. v. 23. μὲν γυμνάσιον. p. ib. γυμνάσια. v. 25. ἐς om. v. ib. τῶν om. s, a. ib. αὐτοὺς. a. 26. αὐτῷ. om. l. Fo: αὐτῷ τοῦ μὴ ἀ. 27. τὸ Νέρωνα. l, s, ubi fuerat τὸν N. et a. τὸν N. v. 28. διάζωσμα. v. 29. τιγαλλῖνος. a. τιγιλλῖνος f, l, et o. ib. ὑφ' ᾧ. l, f, v et m. γρ. ἐῳ' ᾧ. s, E. 30. αὐτὸ. m. 31. τολμηρὸν κινδυνῶδες ἐπιλήψιμον. p ib. παραβεβλημένον. f. παραβεβλαμμένον. r. 35. ἔφη. f et s. ante corr. al. m. 36. ἐκλήψεως. v. et sic infra. 37. μὲν γὰρ p.

IV. 41. 42. 43. p. 182. 183.

εἰρημένον οὔπω εἶχον οἱ παρατυχόντες τῷ λόγῳ, τρίτῃ δ' ἀπὸ τῆς ἐκλείψεως ἡμέρᾳ ξυνῆκαν τοῦ λόγου πάντες· σιτουμένου γὰρ τοῦ Νέρωνος ἐμπεσὼν τῇ τραπέζῃ σκηπτὸς διήλασε τῆς κύλικος ἐν χεροῖν οὔσης καὶ οὐ πολὺ ἀπεχούσης τοῦ στόματος· τὸ δὴ παρὰ τοσοῦτον ἐλθεῖν τοῦ βληθῆναι αὐτὸν πεπράξεσθαί τι εἶπε καὶ μὴ πεπράξεσθαι. ἀκούσας δὲ Τιγελλῖνος τὸν λόγον τοῦτον ἐς δέος ἀφίκετο τοῦ ἀνδρός, ὡς σοφοῦ τὰ δαιμόνια, καὶ ἐς ἐγκλήματα μὲν φανερὰ καθίστασθαι πρὸς αὐτὸν οὐκ ᾤετο δεῖν, ὡς μὴ κακόν τι ἀφανὲς ὑπ' αὐτοῦ λάβοι, διαλεγόμενον δὲ καὶ σιωπῶντα καὶ καθήμενον καὶ βαδίζοντα καὶ ὅ τι φάγοι καὶ παρ' ὅτου καὶ εἰ ἔθυσεν ἢ μὴ ἔθυσε, περιήθρει πᾶσιν ὀφθαλμοῖς, ὁπόσοις ἡ ἀρχὴ βλέπει.

XLIV Ἐμπεσόντος δὲ ἐν Ῥώμῃ νοσήματος, ὃ κατάρρουν οἱ ἰατροὶ ὀνομάζουσιν, ἀνίστανται δὲ ἄρα ὑπ' αὐτοῦ βῆχες καὶ ἡ φωνὴ τοῖς λαλοῦσι πονήρως ἔχει, τὰ μὲν ἱερὰ πλέα ἦν ἱκετευόντων τοὺς θεούς, ἐπεὶ διῳδήκει τὴν φάρυγγα Νέρων καὶ μελαίνῃ τῇ φωνῇ ἐχρῆτο, ὁ δὲ Ἀπολλώνιος ἐρρήγνυτο μὲν πρὸς τὴν τῶν πολλῶν ἄνοιαν, ἐπέπληττε δὲ οὐδενί, ἀλλὰ καὶ τὸν Μένιππον παροξυνόμενον ὑπὸ τῶν τοιούτων ἐσωφρόνιζέ τε καὶ κατεῖχε ξυγγιγνώσκειν κελεύων τοῖς θεοῖς, εἰ μίμοις γελοίοις χαίρουσιν, ἀπαγγελθέντος δὲ τῷ Τιγελλίνῳ τοῦ λόγου τούτου, πέμπει τοὺς ἄξοντας αὐτὸν ἐς τὸ δικαστήριον, ὡς ἀπολογήσαιτο μὴ ἀσεβεῖν ἐς Νέρωνα, παρεσκεύαστο δὲ καὶ κατήγορος ἐπ' αὐτὸν πολλοὺς ἀπολωλεκὼς ἤδη καὶ τοιούτων Ὀλυμπιάδων μεστός, καί τι καὶ γραμματεῖον εἶχεν ἐν ταῖν χεροῖν γεγραμμένον τὸ ἔγκλημα, καὶ τοῦτο ὥσπερ ξίφος ἀνασείων ἐπὶ τὸν ἄνδρα ἠκονῆσθαί τε αὐτὸ ἔλεγε καὶ ἀπολεῖν αὐτόν. ἐπεὶ δὲ ἀνελίττων Τιγελλῖνος τὸ γραμματεῖον γραμμῆς μὲν ἴχνος ἐν αὐτῷ οὐχ εὗρεν, ἀσήμῳ δέ τινι βιβλίῳ ἐνέτυχεν, ἐς ἔννοιαν ἀπηνέχθη δαίμονος. τοῦτο δὲ καὶ Δομετιανὸς ὕστερον πρὸς αὐτὸν λέγεται παθεῖν. ἀπολαβὼν οὖν τὸν Ἀπολλώνιον ἤνεγκεν ἐς τὸ ἀπόρρητον δικαστήριον, ἐν ᾧ περὶ τῶν μεγίστων ἡ ἀρχὴ αὕτη ἀφανῶς δικάζει, καὶ μεταστησάμενος πάντας ἐνέκειτο ἐρωτῶν, ὅστις εἴη, ὁ δὲ Ἀπολλώνιος πατρός τε ἐμέμνητο καὶ πατρίδος καὶ ἐφ' ὅ τι τῇ σοφίᾳ χρῷτο, ἔφασκέ τε αὐτῇ χρῆσθαι ἐπί τε τῷ θεοὺς γιγνώσκειν ἐπί τε τῷ ἀνδρῶν ξυνιέναι, τοῦ γὰρ ἑαυτὸν γνῶναι χαλεπώτερον εἶναι τὸ ἄλλον γνῶναι. „τοὺς δαίμονας," εἶπεν „ὦ Ἀπολ-
186 λώνιε, καὶ τὰς τῶν εἰδώλων φαντασίας πῶς ἐλέγχεις;" „ὥς γε" ἔφη „τοὺς μιαφόνους τε καὶ ἀσεβεῖς ἀνθρώπους." ταυτὶ δὲ πρὸς τὸν Τιγελλῖνον ἀποσκώπτων ἔλεγεν, ἐπειδὴ πάσης ὠμότητός τε καὶ ἀσελγείας διδάσκαλος ἦν τῷ Νέρωνι. „μαντεύσαιο δ' ἄν" ἔφη „δεηθέντι μοι"; „πῶς" εἶπεν „ὅ γε μὴ μάντις ὤν"; „καὶ μὴν σὲ" ἔφη „φασὶν εἶναι τὸν εἰπόντα ἔσεσθαί τι μέγα καὶ οὐκ ἔσεσθαι". „ἀληθῶς" εἶπεν „ἤκουσας, τοῦτο δὲ μὴ μαντικῇ προστίθει, σοφίᾳ δὲ μᾶλλον, ἣν θεὸς
30 φαίνει σοφοῖς ἀνδράσιν." „Νέρωνα δὲ" ἔφη „διὰ τί οὐ δέδοικας"; „ὅτι" εἶπεν „ὁ θεὸς ὁ παρέχων ἐκείνῳ φοβερῷ δοκεῖν κἀμοὶ δέδωκεν ἀφόβῳ εἶναι". „φρονεῖς δὲ πῶς" εἶπε „περὶ Νέρωνος"; ὁ δὲ Ἀπολλώνιος „βέλτιον" εἶπεν „ἢ ὑμεῖς· ὑμεῖς γὰρ ἡγεῖσθε αὐτὸν ἄξιον τοῦ ᾄδειν, ἐγὼ δὲ ἄξιον τοῦ σιωπᾶν." ἐκπλαγεὶς οὖν ὁ Τιγελλῖνος „ἄπιθι" ἔφη „καταστήσας ἐγγυητὰς τοῦ σώματος". ὁ δὲ Ἀπολλώνιος „καὶ τίς" εἶπεν „ἐγγυήσεται σῶμα, ὃ μηδεὶς δήσει"; ἔδοξε τῷ Τιγε-
35 λίνῳ ταῦτα δαιμόνιά τε εἶναι καὶ πρόσω ἀνθρώπου, καὶ ὥσπερ θεομαχεῖν φυλαττόμενος, „χώρει", ἔφη „οἷ βούλει, σὺ γὰρ κρείττων ἢ ὑπ' ἐμοῦ ἄρχεσθαι."

1. τοῦ λόγου. 1. τοῦ λογίου. 2, E. 3. περὶ τοσοῦτον. m. 4. πεπράξασθαι. π et sic statim. ib. Τιγελλῖνος. 1, f. 7. περιήρθη – βλέπει. Φ (333, b, 16.) et ταῦτα περιήθρει – βλέπει. h.
10. ὑπ' αὐτοῦ. 1, f, v. ἀπ' αὐτοῦ. l, s, E. ib. ἐν τοῖς. v. 11. ἐπεὶ δὲ. v. 12. ἄγνοιαν. f, v. 13. καὶ συγγ. v. 14. ἀπαγγελθέντες. m. ἐπαγγελθέντος. o. ib. Τιγιλλίνῳ. 1, f. ib. τοῦ λόγου τούτου. C. τούτου τοῦ λόγου. fc, E. 15. ὡς om. v. ib. ἐπ' αὐτὸν π et m. ἑαυτὸν. v. ἐς αὐτὸν. p, f, l, s, a, o in m. γρ. ἐς αὐτὸν. 16. μεστὸς ὤν. h. ib. εἶχεν αὐταῖν. 2, a. 22. ἐφ' ὅ τι. 1. ἐφ' ὅτῳ. 2, E. 23. τῇ σοφίᾳ. 1, f, v, l. τῇ φιλοσοφίᾳ. s, E. ib. τῷ ἀνδρῶν. 1. τῷ τῶν ἀνδρῶν. 2, E. Fo: τῷ ἀνθρώπων. 24. χαλεπώτερον. 1 ex corr. et o. χαλεπότατον. f. χαλεπώτατον. l, v, s, a m. ib. τὸ γὰρ – τοῦ ἄλλον. C, E. Sc.: τοῦ γὰρ ἑ. γν. χαλεπώτερον εἶναι τὸ ἀ. γν. ib. δαιμόνων. v. 26. Τιγιλλῖνον' 1, f, et sic infra. ib. τε καὶ 1, v. καὶ. f, l, s, E. 27. ἀσεβείας. p. 28. καὶ μὴν σὲ. π. καὶ μὴν καὶ σὲ. p, 2, E. 29. μὴ om. m. ib. καὶ θεὸς. p. 34. δήσῃ. π.

IV, 44. p. 183. 186.

Κἀκεῖνο Ἀπολλωνίου θαῦμα· κόρη ἐν ὥρᾳ γάμου τεθνάναι ἐδόκει καὶ ὁ νυμφίος ἠκολούθει XLV
τῇ κλίνῃ βοῶν ὁπόσα ἐπ' ἀτελεῖ γάμῳ, ξυνωλοφύρετο δὲ καὶ ἡ Ῥώμη, καὶ γὰρ ἐτύγχανεν οἰκίας
ἡ κόρη τελούσης ἐς ὑπάτους. παρατυχὼν οὖν ὁ Ἀπολλώνιος τῷ πάθει „κατάθεσθε" ἔφη „τὴν
κλίνην, ἐγὼ γὰρ ὑμᾶς τῶν ἐπὶ τῇ κόρῃ δακρύων παύσω." καὶ ἅμα ἤρετο, ὅ τι ὄνομα αὐτῇ εἴη. οἱ
μὲν δὴ πολλοὶ ᾤοντο λόγον ἀγορεύσειν αὐτόν, οἷοι τῶν λόγων οἱ ἐπικήδειοί τε καὶ τὰς ὀλοφύρσεις 5
ἐγείροντες, ὁ δὲ οὐδὲν ἀλλ' ἢ προσαψάμενος αὐτῆς καί τι ἀφανῶς ἐπειπὼν ἀφύπνισε τὴν κόρην
τοῦ δοκοῦντος θανάτου, καὶ φωνήν τε ἡ παῖς ἀφῆκεν ἐπανῆλθέ τε ἐς τὴν οἰκίαν τοῦ πατρός,
ὥσπερ ἡ Ἄλκηστις ὑπὸ τοῦ Ἡρακλέους ἀναβιωθεῖσα. δωρουμένων δὲ αὐτῷ τῶν ξυγγενῶν τῆς κόρης
μυριάδας δεκαπέντε φερνὴν ἔφη ἐπιδιδόναι αὐτὰς τῇ παιδί. καὶ εἴτε σπινθῆρα τῆς ψυχῆς εὗρεν ἐν
αὐτῇ, ὃς ἐλελήθει τοὺς θεραπεύοντας — λέγεται γάρ, ὡς ψεκάζοι μὲν ὁ Ζεύς, ἡ δὲ ἀτμίζοι ἀπὸ 10 187
τοῦ προσώπου — εἴτ' ἀπεσβηκυῖαν τὴν ψυχὴν ἀνέθαλψέ τε καὶ ἀνέλαβεν, ἄρρητος ἡ κατάληψις
τούτου γέγονεν οὐκ ἐμοὶ μόνῳ, ἀλλὰ καὶ τοῖς παρατυχοῦσιν.

Ἐτύγχανε δὲ περὶ τὸν χρόνον τοῦτον καὶ Μουσώνιος κατειλημμένος ἐν τοῖς δεσμωτηρίοις του XLVI
Νέρωνος, ὃν φασι τελεώτατα ἀνθρώπων φιλοσοφῆσαι, καὶ φανερῶς μὲν οὐ διελέγοντο ἀλλήλοις
παραιτησαμένου τοῦ Μουσωνίου τοῦτο, ὡς μὴ ἄμφω κινδυνεύσειαν, ἐπιστολιμαίους δὲ τὰς ξυνου- 15
σίας ἐποιοῦντο φοιτῶντος ἐς τὸ δεσμωτήριον τοῦ Μενίππου καὶ τοῦ Λάμιδος. τὰς δὲ οὐχ ὑπὲρ
μεγάλων ἐπιστολὰς ἐάσαντες τὰς ἀναγκαίας παραθησόμεθα κἄξ ὧν ὑπάρχει κατιδεῖν τι μέγα.

Ἀπολλώνιος Μουσωνίῳ φιλοσόφῳ χαίρειν.

Βούλομαι παρὰ σὲ ἀφικόμενος κοινωνῆσαί σοι λόγου καὶ στέγης, ὥς τι ὀνήσαιμί σε. εἴ γε μὴ
ἀπιστεῖς, ὡς Ἡρακλῆς ποτε Θησέα ἐξ Ἅιδου ἔλυσε, γράφε, τί βούλει. ἔρρωσο. 20

Μουσώνιος Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

Ὧν μὲν ἐνενοήθης, ἀποκείσεταί σοι ἔπαινος, ἀνὴρ δὲ ὁ ὑπομείνας ἀπολογίαν καὶ ὡς οὐδὲν
ἀδικεῖ δείξας ἑαυτόν. ἔρρωσο.

Ἀπολλώνιος Μουσωνίῳ φιλοσόφῳ χαίρειν.

Σωκράτης Ἀθηναῖος, ὑπὸ τῶν ἑαυτοῦ φίλων λυθῆναι μὴ βουληθεὶς παρῆλθε μὲν ἐς δικαστή- 25
ριον, ἀπέθανε δέ. ἔρρωσο.

Μουσώνιος Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

Σωκράτης ἀπέθανεν, ἐπεὶ μὴ παρεσκεύασεν ἐς ἀπολογίαν ἑαυτόν, ἐγὼ δὲ ἀπολογήσομαι. ἔρρωσο. XLVII 188

Ἐξελαύνοντος δὲ ἐς τὴν Ἑλλάδα τοῦ Νέρωνος καὶ προκηρύξαντος δημοσίᾳ μηδένα ἐμφιλοσο-
φεῖν τῇ Ῥώμῃ τρέπεται ὁ Ἀπολλώνιος ἐπὶ τὰ ἑσπέρια τῆς γῆς, ἃ φασιν ὁρίζεσθαι ταῖς Στήλαις, 30
τὰς ἀμπώτεις τοῦ Ὠκεανοῦ ἐποψόμενος καὶ τὰ Γάδειρα. καὶ γάρ τι καὶ περὶ φιλοσοφίας τῶν ἐκείνῃ
ἀνθρώπων ἤκουεν, ὡς ἐς πολὺ τοῦ θείου προιμώντων, ἠκολούθησαν δὲ αὐτῷ οἱ γνώριμοι πάντες
ἐπαινοῦντες καὶ τὴν ἀποδημίαν καὶ τὸν ἄνδρα.

1. Ἀπολλωνίῳ f et s ante corr. 2. γὰρ om. 2, a, m. 5. ἀγορεύσειν. π. ἀγορεύειν. p, 2, E. ib. οἱ om. s, a, m. ib. ἐπιτήδειοι. p. 6. καί τι. 1. καί τι καὶ. 2, E. ib. τῇ κόρῃ. l, s, a et m. γρ. s. ὡς Ἄλκηστις. m. ib. ὑπὸ om. m. 9. ἐν om. π. 10. λέγεσθαι γάρ φησιν ὡς — προσώπου. E. (452.) ib. ψακάζοι. f, l. ψακάζει. v. ib. ἀτμίζει. v. 12. μόνον. 1. μόνῳ. 2, E.

14. τελεώτατον. p. 15. τοῦ Μουσωνίου om. fc, a, m. 17. καὶ ἐξ. v. ib. τι μέγα. π. μέγα. p, 2, E. 19. παρά σε. o. ib. ὥστε. a, m. ib. ὀνῆσαί μέ. a. ὠνήσαιμί. v, o. ib. εἴτε. a. 22. ὁ ὑπομείνας. π. ὑπομείνας. p, 2, E. 23. ἀδικεῖς, δείξεις. p. ib. ἑαυτόν. π et f. pr. m. ἑαυτὸν λύσει. p, 2, E. 25. οὐ παρῆλθε μὲν ἐς. 1, m, o. οὐ παρῆλθεν εἰς. 2, a. Delevi οὐ cum H. 94. 28. ἐπειδή. l, s, a. 30. τὰ om. o. ib. πύλαις. π et m. γρ 31. ἀμπώτις. f, l. ἀμπότις. v. ib. περὶ om. a.

IV, 45. 46. 47. p. 187. 188.